ὁ Δικαιόπολις μέγαν λίθον αἴρει καὶ ἐκ τοῦ ἀγροῦ φέρει.

## VOCABULARY

*Verbs*
- **αἴρει**, *he/she lifts*
- **βαδίζει**, *he/she walks; he/she goes*
- **καθίζει**, *he/she sits*
- **φέρει**, *he/she carries*

*Nouns*
- **ὁ ἥλιος**, *sun*
- **ὁ χρόνος**, *time*

*Pronoun*
- **αὐτόν**, *him*

*Adjectives*
- **ἰσχῡρός**, *strong*
- **χαλεπός**, *difficult*

*Preposition*
- **πρός** + acc., *to, toward*

ὁ Δικαιόπολις ἐν τῷ ἀγρῷ πονεῖ· τὸν γὰρ ἀγρὸν σκάπτει. μακρός ἐστιν ὁ πόνος καὶ χαλεπός· τοὺς γὰρ λίθους ἐκ τοῦ ἀγροῦ φέρει. μέγαν λίθον αἴρει καὶ φέρει πρὸς τὸ ἕρμα. ἰσχῡρός ἐστιν ὁ ἄνθρωπος ἀλλὰ πολὺν χρόνον πονεῖ καὶ μάλα κάμνει. φλέγει γὰρ ὁ ἥλιος καὶ κατατρῑβει αὐτόν. καθίζει οὖν ὑπὸ τῷ δένδρῳ καὶ ἡσυχάζει οὐ πολὺν χρόνον. δι' ὀλίγου γὰρ ἐπαίρει ἑαυτὸν καὶ πονεῖ. τέλος δὲ καταδῡ́νει ὁ ἥλιος. οὐκέτι οὖν πονεῖ ὁ Δικαιόπολις ἀλλὰ πρὸς τὸν οἶκον βαδίζει.

[**ἐν τῷ ἀγρῷ**, *in the field* **σκάπτει**, *he is digging* **τοὺς . . . λίθους**, *the stones* **ἐκ τοῦ ἀγροῦ**, *out of the field* **μέγαν**, *big* **τὸ ἕρμα**, *the stone heap* **πολὺν χρόνον**, *for a long time* **μάλα κάμνει**, *he is very tired* **φλέγει**, *is blazing* **κατατρῑβει**, *wears out* **ὑπὸ τῷ δένδρῳ**, *under the tree* **ἡσυχάζει**, *he rests* **δι' ὀλίγου**, *soon* **ἐπαίρει ἑαυτὸν**, *he lifts himself, gets up* **τέλος**, adv., *finally* **καταδῡ́νει**, *sets* **οὐκέτι**, *no longer*]



## WORD BUILDING

*What is the relationship between the words in the following sets? You have not yet met two of these words (φίλος and γεωργός). Try to deduce their meanings (they both refer to people) from studying the relationship between the words in each set:*

1. οἰκεῖ — ὁ οἶκος
2. πονεῖ — ὁ πόνος
3. γεωργεῖ — ὁ γεωργός
4. φιλεῖ — ὁ φίλος

## GRAMMAR

### 5. Accents

Attic Greek has three kinds of accent marks: acute ´, grave `, and circumflex ῀. The acute accent will be found only on one of the last three syllables of a word, e.g.: ἄνθρωπος, λέγει, μᾱκρός. An acute accent on the final syllable of a word will be changed to a grave accent if it is followed immediately by another word with no punctuation (comma, semicolon, or period) in between, thus ἀλλά + καλός > ἀλλὰ καλός.

An important exception to this rule occurs when *enclitics*, words such as ἐστί(ν), which usually lose their accent and instead "lean upon" the previous word for their accent, follow words with an acute accent on their final syllable, e.g.:

χαλεπός + ἐστί(ν) becomes χαλεπός ἐστι(ν).
The acute on the final syllable of χαλεπός does not change to a grave when the word is followed by an enclitic, and the enclitic loses its accent.

Note also what happens when words accented like ἄνθρωπος, πόνος, and οἶκος are followed by enclitics:

ἄνθρωπος + ἐστί(ν) becomes ἄνθρωπός ἐστι(ν).
An acute accent is added to ἄνθρωπος, and the enclitic loses its accent.

πόνος + ἐστί(ν) remains πόνος ἐστί(ν).
The enclitic keeps its accent.

οἶκος + ἐστί(ν) becomes οἶκός ἐστι(ν).
An acute accent is added to οἶκος, and the enclitic loses its accent.

### Exercise 1β

*Copy the following Greek sentences and label the function of each noun and verb by writing S, C, DO, LV, TV, or IV above the appropriate words (do not label words in prepositional phrases). Then translate the pairs of sentences. When translating from English to Greek, keep the same word order as in the model Greek sentence. Pay particular attention to accents, following the rules given above. Do not forget to add the movable ν where necessary (see Grammar 1, page 4).*

1. ὁ Δικαιόπολις οὐκ οἰκεῖ ἐν ταῖς Ἀθήναις.
   The farmer walks to the field.
2. μακρός ἐστιν ὁ ἀγρός.
   The house is small.
3. ὁ αὐτουργός ἐστιν ἰσχῡρός.
   Dicaeopolis is a farmer.
4. ὁ κλῆρος πολὺν σῖτον παρέχει.
   The man carries the big stone.
5. ὁ ἄνθρωπος τὸν σῖτον παρέχει.
   Dicaeopolis lifts the small stone.

## Ο ΚΛΗΡΟΣ

*Read the following passage and answer the comprehension questions:*

μακρός ἐστιν ὁ πόνος καὶ χαλεπός. ὁ δὲ αὐτουργὸς οὐκ ὀκνεῖ ἀλλ' ἀεὶ γεωργεῖ τὸν κλῆρον. καλὸς γάρ ἐστιν ὁ κλῆρος καὶ πολὺν σῖτον παρέχει. χαίρει οὖν ὁ ἄνθρωπος· ἰσχῡρὸς γάρ ἐστι καὶ οὐ πολλάκις κάμνει.

[**ὀκνεῖ**, *shirks*]

1. What is the farmer not doing? What does he always do?
2. What does the farm provide?
3. Why does the man rejoice?

### Exercise 1γ

*Translate into Greek:*

1. Dicaeopolis does not always rejoice.
2. He always works in the field.
3. So he is often tired; for the work is long.
4. But he does not shirk; for he loves his home.



## Classical Greek

Heraclitus

Heraclitus of Ephesus (fl. 500 B.C.) was a philosopher who maintained that, despite appearances, everything was in a continual state of change. Plato (*Cratylus* 402a) quotes him as saying "You cannot step into the same river twice."

In the same passage of the *Cratylus*, Plato reports that Heraclitus said:

πάντα χωρεῖ καὶ οὐδὲν μένει.

[**πάντα**, *everything* **χωρεῖ**, *is on the move* **οὐδὲν**, *nothing* **μένει**, *stays (unchanged)*]

## New Testament Greek

Title of the Gospel of Luke

The New Testament readings in Book I of *Athenaze* are taken from the Holy Gospel according to Luke. Here is the title of this gospel in Greek:

ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ

or

τὸ ἅγιον εὐαγγέλιον τὸ κατὰ Λουκᾶν

[**τὸ**, *the* **ἅγιον**, *holy* **εὐαγγέλιον**, *good news, gospel* (= Old English *gōd*, "good" + *spel*, "news") **κατὰ**, *according to*]



A farmer in contemporary Greece, carrying a kid

# 2
# Ο ΞΑΝΘΙΑΣ (α)



ὁ μὲν Δικαιόπολις ἐλαύνει τὸν βοῦν, ὁ δὲ δοῦλος φέρει τὸ ἄροτρον.

## VOCABULARY

*Verbs*

**ἐκβαίνει**, *he/she steps out; he/she comes out*
**ἐλαύνει**, *he/she drives*
**ἐλθέ**, *come!*
**καθεύδει**, *he/she sleeps*
**καλεῖ**, *he/she calls*
**πάρεστι(ν)**, *he/she/it is present; he/she/it is here; he/she/it is there*
**σπεύδει**, *he/she hurries*

*Nouns*

**τὸ ἄροτρον**, *plow*
**ὁ δοῦλος**, *slave*

*Pronoun*

**ἐγώ**, *I*

*Adjective*

**ἀργός**, *lazy*

*Adverbs*

**οὕτως**, before consonants, **οὕτω**, *so, thus*
**μή**, *not;* + imperative, *don't . . . !*
**τί**; *why?*

*Particles*

**μέν . . . δέ . . .**, postpositive, *on the one hand . . . and on the other hand . . . ; on the one hand . . . but on the other hand*

*Proper Name*

**ὁ Ξανθίᾱς**, *Xanthias*

ὁ Δικαιόπολις ἐκβαίνει ἐκ τοῦ οἴκου καὶ καλεῖ τὸν Ξανθίᾱν. ὁ Ξανθίᾱς δοῦλός ἐστιν, ἰσχῡρὸς μὲν ἄνθρωπος, ἀργὸς δέ· οὐ γὰρ πονεῖ, εἰ μὴ πάρεστιν ὁ Δικαιόπολις. νῦν δὲ καθεύδει ἐν τῷ οἴκῳ. ὁ οὖν Δικαιόπολις καλεῖ αὐτὸν καὶ λέγει· "ἐλθὲ δεῦρο, ὦ Ξανθίᾱ. τί καθεύδεις; μὴ οὕτως ἀργὸς ἴσθι ἀλλὰ σπεῦδε." ὁ οὖν Ξανθίᾱς 5





βραδέως ἐκβαίνει ἐκ τοῦ οἴκου καὶ λέγει· "τί εἶ οὕτω χαλεπός, ὦ δέσποτα; οὐ γὰρ ἀργός εἰμι ἀλλὰ ἤδη σπεύδω." ὁ δὲ Δικαιόπολις λέγει· "ἐλθὲ δεῦρο καὶ συλλάμβανε· αἶρε γὰρ τὸ ἄροτρον καὶ φέρε αὐτὸ πρὸς τὸν ἀγρόν. ἐγὼ γὰρ ἐλαύνω τοὺς βοῦς. ἀλλὰ σπεῦδε· μῑκρὸς μὲν γάρ ἐστιν ὁ ἀγρός, μακρὸς δὲ ὁ πόνος." 10

[**ἐκ τοῦ οἴκου**, *out of the house* **εἰ μὴ**, *unless* **νῦν**, *now* **ἐν τῷ οἴκῳ**, *in the house* **δεῦρο**, *here = hither* **μὴ . . . ἴσθι**, *don't be!* **βραδέως**, *slowly* **δέσποτα**, *master* **ἤδη**, *already* **συλλάμβανε**, *help!* **αὐτὸ**, *it* **τοὺς βοῦς**, *the oxen*]

## WORD STUDY

1. What do *despotic* and *chronology* mean? What Greek words do you find embedded in these English words?
2. What does a *dendrologist* study?
3. Explain what a *heliocentric* theory of the universe is.
4. What is a *chronometer*? What does τὸ μέτρον mean?

## GRAMMAR

### 1. Verb Forms: Indicative Mood; 1st, 2nd, and 3rd Persons Singular

The *moods* indicate whether an action is viewed as being real or ideal. The *indicative* mood is used to express statements and questions about reality or fact:

ἐλαύνω τοὺς βοῦς. *I am driving the oxen.*
τί καθεύδεις; *Why are you sleeping?*

The different endings of the verb show not only who or what is performing the action (I; you; he/she/it; we; you; they) but also how the action is being viewed (mood). In the following examples we give only the singular possibilities (I; you; he/she/it) in the indicative mood:

**Stem:** λῡ-, *loosen, loose*

| | | |
|---|---|---|
| **1st singular** | λῡ́-ω | *I loosen, am loosening, do loosen* |
| **2nd singular** | λῡ́-εις | *you loosen, are loosening, do loosen* |
| **3rd singular** | λῡ́-ει | *he/she loosens, is loosening, does loosen* |

**Stem:** φιλε-, *love*

| | | |
|---|---|---|
| **1st singular** | φιλέ-ω > φιλῶ | *I love, am loving, do love* |
| **2nd singular** | φιλέ-εις > φιλεῖς | *you love, are loving, do love* |
| **3rd singular** | φιλέ-ει > φιλεῖ | *he/she loves, is loving, does love* |

**Stem:** ἐσ-, *be*

| | | |
|---|---|---|
| **1st singular** | εἰμί* | *I am* |
| **2nd singular** | εἶ | *you are* |
| **3rd singular** | ἐστί(ν)* | *he/she/it is* |

*enclitic

Since the endings differ for each person, subject pronouns need not be expressed in Greek, e.g.:

ἐλαύνω = *I drive.*
ἐλαύνεις = *you drive.*
ἐλαύνει = *he/she drives.*

But they are expressed if they are emphatic, e.g.:

**ἐγὼ** μὲν πονῶ, **σὺ** δὲ καθεύδεις. ***I am working, but you are sleeping.***

### Exercise 2α

*Read aloud and translate into English:*

1. τὸν δοῦλον καλῶ.
2. ὁ δοῦλος ἐν τῷ οἴκῳ πονεῖ.
3. τί οὐ σπεύδεις;
4. οὐκ εἰμὶ ἀργός.
5. ἰσχῦρὸς εἶ.
6. τὸ ἄροτρον φέρει.
7. πρὸς τὸν ἀγρὸν σπεύδω.
8. τί καλεῖς τὸν δοῦλον;
9. ὁ δοῦλος οὐκ ἔστιν ἀργός.
10. ὁ δοῦλος ἐκβαίνει ἐκ τοῦ οἴκου.

## 2. Proclitics

The negative adverb οὐ, οὐκ, οὐχ is called a *proclitic*. Proclitics normally do not have accents but "lean forward" onto the following word (cf. enclitics, page 4), e.g., τί οὐ σπεύδεις; (Exercise 2α, no. 3, above). When the proclitic οὐ is followed by the enclitic εἰμί (1st person singular), the enclitic retains an accent on its second syllable, e.g., οὐκ εἰμὶ ἀργός (Exercise 2α, no. 4, above). When οὐκ is followed by the enclitic ἐστί(ν) (3rd person singular), the enclitic receives an acute accent on its first syllable, e.g., ὁ δοῦλος οὐκ ἔστιν ἀργός (Exercise 2α, no. 9, above).

### Exercise 2β

*Translate into Greek. Do not begin your Greek sentence with an enclitic. When necessary, apply the rules for proclitics and enclitics given above and in Chapter 1, Grammar 5, page 9.*

1. He/she is not hurrying.
2. Why are you not working?
3. I am carrying the plow.
4. You are hurrying to the field.
5. He is lazy.
6. I am not strong.
7. You are not a slave.
8. The slave is not working.
9. The slave is carrying the plow to the field.
10. He is not lazy.



## 3. The Imperative

The *imperative* mood is used to express commands:

σπεῦδ-ε *hurry!* φίλε-ε > φίλει *love!* ἴσθι *be!*

In prohibitions (negative commands), μή + the imperative is used:

μὴ αἶρε τὸ ἄροτρον. *Don't lift the plow!*
μὴ ἀργὸς ἴσθι. *Don't be lazy!*

### Exercise 2γ

*Copy the following sentences and write C, DO, or IMP for imperative above the appropriate words. Then translate the sentences into English:*

1. ἔκβαινε ἐκ τοῦ οἴκου, ὦ Ξανθίᾱ, καὶ ἐλθὲ δεῦρο.
2. μὴ κάθευδε, ὦ δοῦλε, ἀλλὰ πόνει.
3. μὴ οὕτω χαλεπὸς ἴσθι, ὦ δέσποτα.
4. αἶρε τὸ ἄροτρον καὶ σπεῦδε πρὸς τὸν ἀγρόν.
5. κάλει τὸν δοῦλον, ὦ δέσποτα.

## Slavery

The adult male population of the city-state of Athens in 431 B.C. has been calculated as follows: citizens 50,000, resident foreigners 25,000, slaves 100,000. The resident foreigners (*metics*, μέτοικοι) were free men who were granted a distinct status; they could not own land in Attica or contract marriages with citizens, but they had the protection of the courts, they served in the army, they had a role in the festivals, and they played an important part in commerce and industry.

Slaves had no legal rights and were the property of the state or individuals. The fourth-century philosopher Aristotle describes them as "living tools." They were either born into slavery or came to the slave market as a result of war or piracy. They were nearly all barbarians, i.e., non-Greek (a document from 415 B.C. records the sale of fourteen slaves—five were from Thrace, two from Syria, three from Caria, two from Illyria, and one each from Scythia and Colchis). It was considered immoral to enslave Greeks, and this very rarely happened.

The whole economy of the ancient world, which made little use of machines, was based on slave labor. Slaves were employed by the state, e.g., in the silver mines; they worked in factories (the largest we know of was a shield factory, employing 120 slaves); and individual citizens owned one or more slaves in proportion to their wealth. Every farmer hoped to own a slave to help in the house and fields, but not all did. Aristotle remarks that for poor men "the ox takes the place of the slave."

It would be wrong to assume that slaves were always treated inhumanely. A fifth-century writer of reactionary views says:

> Now as to slaves and metics, in Athens, they live a most undisciplined life. One is not permitted to strike them, and a slave will not stand out of the way for you. Let me explain why. If the law permitted a free man to strike a slave or metic or a freedman, he would often find that he had mistaken an Athenian for a slave and struck him, for, as far as clothing and general appearance go, the common people look just the same as slaves and metics. (Pseudo-Xenophon 1.10)

Slaves and citizens often worked side by side and received the same wage, as we learn from inscriptions giving the accounts of public building works. Slaves might save enough money to buy their freedom from their masters, though this was not as common in Athens as in Rome.

In the country, the slaves of farmers usually lived and ate with their masters. Aristophanes' comedies depict them as lively and cheeky characters, by no means downtrodden. We have given Dicaeopolis one slave, named Xanthias, a typical slave name meaning "fair-haired."

## Greek Wisdom

See page 70

μέτρον ἄριστον. Κλεόβουλος (of Lindos)

A farmer on his way to market; he is followed by a slave carrying two baskets of produce and accompanied by a pig and a piglet.

Slaves working in a clay pit



Women picking apples–slave and free

# Ο ΞΑΝΘΙΑΣ (β)



ὁ Δικαιόπολις λέγει· "σπεῦδε, ὦ Ξανθίᾱ, καὶ φέρε μοι τὸ ἄροτρον."

## VOCABULARY

*Verbs*

**ἄγω**, *I lead; I take*
**εἰσάγω**, *I lead in; I take in*
**βαίνω**, *I step; I walk; I go*
**βλέπω**, usually intransitive, *I look; I see*
**λαμβάνω**, *I take*
**συλλαμβάνω** [= συν-, *with* + λαμβάνω], *I help*

*Nouns*

**ὁ βοῦς**, *ox*
**τὸ δένδρον**, *tree*
**ὁ δεσπότης**, *master*

*Preposition*

**εἰς** + acc., *into; to; at*

*Adverbs*

**βραδέως**, *slowly*
**ἔπειτα**, *then, thereafter*
**ἤδη**, *already; now*

ὁ μὲν οὖν Δικαιόπολις ἐλαύνει τοὺς βοῦς, ὁ δὲ Ξανθίᾱς ὄπισθεν βαδίζει καὶ φέρει τὸ ἄροτρον. δι' ὀλίγου δὲ ὁ Δικαιόπολις εἰσάγει τοὺς βοῦς εἰς τὸν ἀγρὸν καὶ βλέπει πρὸς τὸν δοῦλον· ὁ δὲ Ξανθίᾱς οὐ πάρεστιν· βραδέως γὰρ βαίνει. ὁ οὖν Δικαιόπολις καλεῖ αὐτὸν καὶ λέγει· "σπεῦδε, ὦ Ξανθίᾱ, καὶ φέρε μοι τὸ ἄροτρον." ὁ δὲ Ξανθίᾱς λέγει· "ἀλλ' ἤδη σπεύδω, ὦ δέσποτα· τί οὕτω χαλεπὸς εἶ;" βραδέως δὲ φέρει τὸ ἄροτρον πρὸς αὐτόν. ὁ οὖν Δικαιόπολις ἄγει τοὺς βοῦς ὑπὸ τὸ ζυγὸν καὶ προσάπτει τὸ ἄροτρον. ἔπειτα δὲ πρὸς τὸν δοῦλον βλέπει· ὁ δὲ Ξανθίᾱς οὐ πάρεστιν· καθεύδει γὰρ ὑπὸ τῷ δένδρῳ.

[**ὄπισθεν**, *behind* **δι' ὀλίγου**, *soon* **μοι**, *(to) me* **ὑπὸ τὸ ζυγὸν**, *under the yoke* **προσάπτει**, *attaches*]



ὁ οὖν Δικαιόπολις καλεῖ αὐτὸν καὶ λέγει· "ἐλθὲ δεῦρο, ὦ κατάρᾱτε. μὴ κάθευδε ἀλλὰ συλλάμβανε. φέρε γὰρ τὸ σπέρμα καὶ ὄπισθεν βάδιζε." ὁ μὲν οὖν δοῦλος τὸ σπέρμα λαμβάνει καὶ ἀκολουθεῖ, ὁ δὲ δεσπότης καλεῖ τὴν Δήμητρα καὶ λέγει· "ἵλεως ἴσθι, ὦ Δήμητερ, καὶ πλήθῡνε τὸ σπέρμα." ἔπειτα δὲ τὸ κέντρον λαμβάνει καὶ κεντεῖ τοὺς βοῦς καὶ λέγει· "σπεύδετε, ὦ βόες· ἕλκετε τὸ ἄροτρον καὶ ἀροῦτε τὸν ἀγρόν."

[**ὦ κατάρᾱτε**, *you cursed creature* **τὸ σπέρμα**, *the seed* **ἀκολουθεῖ**, *follows* **τὴν Δήμητρα**, *Demeter* (goddess of grain) **ἵλεως**, *gracious* **πλήθῡνε**, *multiply* **τὸ κέντρον**, *the goad* **κεντεῖ**, *goads* **ἕλκετε**, *drag* **ἀροῦτε**, *plow*]

## WORD BUILDING

In the readings you have met the following prepositions: εἰς, *into;* ἐκ, *out of;* ἐν, *in;* and πρός, *to, toward.* These prepositions may be prefixed to verbs to form compound verbs, e.g.:

βαίνει, *he/she walks, steps* **ἐκ**βαίνει, *he/she steps* ***out***

*Deduce the meaning of the following compound verbs:*

1. προσφέρει
2. ἐκφέρει
3. προσελαύνει
4. προσβαίνει
5. ἐκκαλεῖ
6. εἰσελαύνει

You can easily deduce the meanings of many more compound verbs of this sort, which are very frequent in Greek. Right from the start of your study of Greek you should begin to recognize the meaning of many new words from your knowledge of ones with which you are already familiar. To encourage you to develop and use this skill, the meaning of compound verbs will not be given in the chapter vocabularies when the meaning is clear from the separate parts of the word. When compound verbs have *special* meanings, they will be given in the vocabulary lists.

## GRAMMAR

### 4. Articles, Adjectives, and Nouns; Singular, All Cases

| | Masculine | | | Neuter | | |
|---|---|---|---|---|---|---|
| **Nominative** | ὁ | καλὸς | ἀγρός | τὸ | καλὸν | δένδρον |
| **Genitive** | τοῦ | καλοῦ | ἀγροῦ | τοῦ | καλοῦ | δένδρου |
| **Dative** | τῷ | καλῷ | ἀγρῷ | τῷ | καλῷ | δένδρῳ |
| **Accusative** | τὸν | καλὸν | ἀγρόν | τὸ | καλὸν | δένδρον |
| **Vocative** | ὦ* | καλὲ | ἀγρέ | ὦ | καλὸν | δένδρον |

N.B. The endings for the neuter nominative, accusative, and vocative cases are the same.

*Not a definite article, but an interjection used with the vocative.

### 5. Uses of the Cases

The subject of the sentence and the complement of the verb "to be" are in the *nominative case*, e.g., **ὁ ἀγρὸς καλός** ἐστιν = ***The field is beautiful.*** **ὁ Δικαιόπολις αὐτουργός** ἐστιν. ***Dicaeopolis is a farmer.***

The *genitive case* is at present used only after certain prepositions, including those that express motion from a place, e.g., ἐκβαίνει **ἐκ τοῦ οἴκου** = *He/She steps/comes* ***out of the house.***

The *dative case* is also at present used only after certain prepositions, including those that indicate the place where someone or something is or something happens, e.g., καθεύδει **ἐν τῷ οἴκῳ** = *He/She sleeps* ***in the house.***

The *accusative case* indicates the direct object of a transitive verb (e.g., καλεῖ **τὸν δοῦλον**) and is used after certain prepositions, including those that indicate motion toward someone or something, e.g., **πρὸς τὸν οἶκον** βαδίζει = *He/She walks* ***toward the house.***

The *vocative case* is used when addressing a person, e.g., ἐλθὲ δεῦρο, **ὦ δοῦλε** = *Come here,* ***slave!*** It is usually preceded by ὦ, which need not be translated.

### 6. Persistent Accent of Nouns and Adjectives

The accents of nouns and adjectives are *persistent*, i.e., they remain as they are in the nominative case unless forced to change because of one of several rules. One such rule is that nouns and adjectives such as those in the chart above, if they are accented in the nominative with an acute on the final syllable, change their accent to a circumflex on the final syllable in the genitive and dative cases. Note how this rule applies to the adjective καλός/καλόν and to the noun ἀγρός above. (Of course, the adjective καλός/καλόν as written above in the nominative, accusative, and vocative cases has changed its acute to a grave because of the nouns immediately following.) Note also that the definite article follows a similar rule and has a circumflex accent on the genitive and dative.



#### Exercise 2δ

*Give the correct form of the article to complete the following phrases; be careful with the accents:*

1. τὸν δοῦλον
2. ἐν τῷ ἀγρῷ
3. ὁ ἄνθρωπος
4. ἐκ τοῦ οἴκου
5. τὸ ἄροτρον
6. ὑπὸ τῷ δένδρῳ
7. ἐν τῷ οἴκῳ

#### Exercise 2ε

*Complete the following sentences by giving correct endings to the verbs, nouns, and adjectives, and then translate the sentences into English:*

1. ὁ δοῦλος σπεύδ__ πρὸς τὸν ἀγρ__ .
2. ὁ Δικαιόπολις τὸν ἀργ__ δοῦλον καλ__ .
3. ἐλθ__ δεῦρο καὶ συλλάμβα__ .
4. ἐγὼ ἐλαύν__ τοὺς βοῦς ἐκ τοῦ ἀγρ__ .
5. μὴ χαλεπ__ ἴσθι, ὦ δοῦλ__ , ἀλλὰ πόν__ .

### 7. Recessive Accent of Verbs

More will be said about accents on verbs later in this course (e.g., Chapter 5, Grammar 2, pages 56–57), but for now observe that the forms ἐλαύνω, ἐλαύνεις, and ἐλαύνει have accents on the next to the last syllable, when the final syllable has a long vowel or diphthong. When the final syllable is short, as in the imperative, the accent recedes to the third syllable from the end, thus, ἔλαυνε. In the second paragraph of story β, find six verbs accented on the third syllable from the end.

#### Exercise 2ζ

*Translate the following pairs of sentences:*

1. ὁ δοῦλος οὐκ ἔστιν Ἀθηναῖος.
   Xanthias is not strong.
2. ὁ Δικαιόπολις ἐκβαίνει ἐκ τοῦ οἴκου καὶ καλεῖ τὸν δοῦλον.
   The slave hurries to the field and carries the plow.

3. ὁ δοῦλος οὐ συλλαμβάνει ἀλλὰ καθεύδει ὑπὸ τῷ δένδρῳ.
   The man is not working but walking to the house.
4. εἴσελθε εἰς τὸν οἶκον, ὦ Ξανθίᾱ, καὶ φέρε τὸν σῖτον.
   Come, slave, and lead in the oxen.
5. μὴ πόνει, ὦ Ξανθίᾱ, ἀλλὰ ἐλθὲ δεῦρο.
   Don't sleep, man, but work in the field.

## Ο ΔΟΥΛΟΣ

*Read the following passage and answer the comprehension questions:*

ὁ αὐτουργὸς σπεύδει εἰς τὸν ἀγρὸν καὶ καλεῖ τὸν δοῦλον. ὁ δὲ δοῦλος οὐ πάρεστιν· καθεύδει γὰρ ὑπὸ τῷ δένδρῳ. ὁ οὖν δεσπότης βαδίζει πρὸς αὐτὸν καὶ λέγει· "ἐλθὲ δεῦρο, ὦ δοῦλε ἀργέ, καὶ πόνει." ὁ οὖν δοῦλος βαδίζει πρὸς αὐτὸν καὶ λέγει· "μὴ χαλεπὸς ἴσθι, ὦ δέσποτα· ἤδη γὰρ πάρειμι ἐγὼ καὶ φέρω σοι τὸ ἄροτρον." ὁ οὖν δεσπότης λέγει· "σπεῦδε, ὦ Ξανθίᾱ· μῑκρὸς μὲν γάρ ἐστιν ὁ ἀγρός, μακρὸς δὲ ὁ πόνος." 5

[**σοι**, *to you*]

1. What is the farmer doing?
2. What is the slave doing?
3. When told to come and help, what does the slave do?
4. Why is the slave urged to hurry?

### Exercise 2η

*Translate into Greek. When you need to use μέν and another postpositive word together, always put μέν before the other postpositive (see line 5 of the story above):*

1. Dicaeopolis no longer (**οὐκέτι**) works but loosens the oxen.
2. And (*use* **δέ**, *postpositive*) then he calls the slave and says: "Don't work any longer (**μηκέτι**) but come here and take the plow.
3. "For I (*use personal pronoun*) on the one hand am driving the oxen to the house, you (**σύ**) on the other hand carry (*imperative*) the plow."
4. So on the one hand Dicaeopolis drives the oxen out of the field, and on the other hand the slave takes the plow and carries (it) toward the house.



## Classical Greek

Callimachus

Callimachus of Alexandria (fl. 250 B.C.) was a poet who rejected traditional genres such as epic and advocated the writing of short, light poems. The following saying based on fragment 465 (Pfeiffer) makes his preference clear:

μέγα βιβλίον μέγα κακόν.

[**βιβλίον**, *book;* supply ἐστί **κακόν**, *evil, trouble*]

## New Testament Greek

Luke 3.22

The context is: "And it happened that while all the people were being baptized and Jesus had been baptized and was praying, the heaven was opened, the Holy Ghost came down upon him in bodily form like a dove, and a voice came from heaven." The voice said:

"σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός. . . . "

[**ὁ υἱός μου**, *my son* **ὁ ἀγαπητός**, *the beloved*]

See Acknowledgments, page 356.

Youth with cow in a sacrificial procession

# 3
# Ο ΑΡΟΤΟΣ (α)

ὁ μὲν Δικαιόπολις ἐλαύνει τοὺς βοῦς, οἱ δὲ βόες τὸ ἄροτρον ἕλκουσιν.

## VOCABULARY

*Verbs*
- **μένω**, *I stay* (in one place); *I wait; I wait for*
- **πίπτω**, *I fall*
- **προσχωρέω** + dat., *I go toward, approach*
- **φησί(ν)**, postpositive enclitic, *he/she says*

*Noun*
- **ὁ λίθος**, *stone*

*Pronouns*
- **αὐτό**, *it*
- **αὐτόν**, *him; it*

*Adjectives*
- **αἴτιος**, *responsible (for); to blame*
- **δυνατός**, *possible*
- **μέγας**, *big, large; great*

*Preposition*
- **ἐκ, ἐξ** before words beginning with vowels + gen., *out of*

*Adverbs*
- **αὖθις**, *again*
- **δεῦρο**, *here*, i.e., *hither*
- **ἔτι**, *still*
- **οὐκέτι**, *no longer*

*Particle and Conjunction*
- **τε . . . καί** or **τε καί**, the **τε** is postpositive and enclitic, *both . . . and*

*Expression*
- **ὦ Ζεῦ**, *O Zeus*

ὁ μὲν Δικαιόπολις ἐλαύνει τοὺς βοῦς, οἱ δὲ βόες ἕλκουσι τὸ ἄροτρον, ὁ δὲ Ξανθίᾱς σπείρει τὸ σπέρμα. ἀλλὰ ἰδού, μένουσιν οἱ βόες καὶ οὐκέτι ἕλκουσι τὸ ἄροτρον. ὁ μὲν οὖν Δικαιόπολις τοὺς βοῦς καλεῖ καί, "σπεύδετε, ὦ βόες," φησίν· "μὴ μένετε." οἱ δὲ βόες ἔτι μένουσιν. ὁ οὖν Δικαιόπολις, "τί μένετε, ὦ βόες;" φησίν, καὶ βλέπει





πρὸς τὸ ἄροτρον, καὶ ἰδού, λίθος ἐμποδίζει αὐτό. ὁ οὖν Δικαιόπολις λαμβάνει τὸν λίθον ἀλλ' οὐκ αἴρει αὐτόν· μέγας γάρ ἐστιν. καλεῖ οὖν τὸν δοῦλον καί, "ἐλθὲ δεῦρο, ὦ Ξανθίᾱ," φησίν, "καὶ συλλάμβανε· λίθος γὰρ μέγας τὸ ἄροτρον ἐμποδίζει, οἱ δὲ βόες μένουσιν."

[**ἕλκουσι**, *(they) are dragging* **σπείρει**, *is sowing* **τὸ σπέρμα**, *the seed* **ἰδού**, *look!* **ἐμποδίζει**, *is obstructing*]

ὁ οὖν Ξανθίᾱς βραδέως προσχωρεῖ ἀλλ' οὐ συλλαμβάνει· βλέπει γὰρ πρὸς τὸν λίθον καί, "μέγας ἐστὶν ὁ λίθος, ὦ δέσποτα," φησίν· "ἰδού, οὐ δυνατόν ἐστιν αἴρειν αὐτόν." ὁ δὲ Δικαιόπολις, "μὴ ἀργὸς ἴσθι," φησίν, "ἀλλὰ συλλάμβανε. δυνατὸν γάρ ἐστιν αἴρειν τὸν λίθον." ἅμα οὖν ὅ τε δεσπότης καὶ ὁ δοῦλος αἴρουσι τὸν λίθον καὶ φέρουσιν αὐτὸν ἐκ τοῦ ἀγροῦ.

[**ἅμα**, *together*]

ἐν ᾧ δὲ φέρουσιν αὐτόν, πταίει ὁ Ξανθίᾱς καὶ καταβάλλει τὸν λίθον· ὁ δὲ λίθος πίπτει πρὸς τὸν τοῦ Δικαιοπόλιδος πόδα. ὁ οὖν Δικαιόπολις στενάζει καί, "ὦ Ζεῦ," φησίν, "φεῦ τοῦ ποδός. λάμβανε τὸν λίθον, ὦ ἀνόητε, καὶ αἶρε αὐτὸν καὶ μὴ οὕτω σκαιὸς ἴσθι." ὁ δὲ Ξανθίᾱς, "τί οὕτω χαλεπὸς εἶ, ὦ δέσποτα;" φησίν· "οὐ γὰρ αἴτιός εἰμι ἐγώ· μέγας γάρ ἐστιν ὁ λίθος, καὶ οὐ δυνατόν ἐστιν αὐτὸν φέρειν." ὁ δὲ Δικαιόπολις, "μὴ φλυᾶρει, ὦ μαστῑγίᾱ, ἀλλ' αἶρε τὸν λίθον καὶ ἔκφερε ἐκ τοῦ ἀγροῦ." αὖθις οὖν αἴρουσι τὸν λίθον καὶ μόλις ἐκφέρουσιν αὐτὸν ἐκ τοῦ ἀγροῦ. ἔπειτα δὲ ὁ μὲν Δικαιόπολις ἐλαύνει τοὺς βοῦς, οἱ δὲ βόες οὐκέτι μένουσιν ἀλλὰ ἕλκουσι τὸ ἄροτρον.

[**ἐν ᾧ**, *while* **πταίει**, *stumbles* **καταβάλλει**, *drops* **πρὸς τὸν τοῦ Δικαιοπόλιδος πόδα**, *upon Dicaeopolis's foot* **στενάζει**, *groans* **φεῦ τοῦ ποδός**, *oh, my poor foot!* **ὦ ἀνόητε**, *you fool* **σκαιὸς**, *clumsy* **φλυᾶρει**, *talk nonsense!* **ὦ μαστῑγίᾱ**, *you rogue* (deserving of a whipping) **μόλις**, *with difficulty*]

## WORD STUDY

1. What does *lithograph* mean? What does γράφω mean?
2. What is a *monolith*? What does μόνος mean?
3. What does *megalithic* mean?
4. What is a *megaphone*? What does ἡ φωνή mean?

## GRAMMAR

### 1. Verb Forms: 3rd Person Plural, Imperatives, and Infinitives

a. In Chapter 2 you learned the 1st, 2nd, and 3rd person singular indicative forms of λῡ́ω, φιλέω, and εἰμί. Here are the 3rd person plural indicative forms:

**Stem:** λῡ-, *loosen, loose*
**3rd plural** λῡ́-ουσι(ν) *they loosen, are loosening, do loosen*

**Stem:** φιλε-, *love*
**3rd plural** φιλέ-ουσι(ν) > φιλοῦσι(ν) *they love, are loving, do love*

**Stem:** ἐσ-, *be*
**3rd plural** εἰσί(ν)* *they are*

*enclitic

Locate twelve 3rd person plural verb forms in the reading passage at the beginning of this chapter.

b. In Chapter 2 you learned some forms of the *imperative* mood. These were the singular forms, used to address a command to one person:

σπεῦδε *hurry!*
φίλει *love!*
ἴσθι *be!*
ἐλθέ *come! go!*

Note the accent of ἐλθέ, which is irregular.

In the reading at the beginning of this chapter you have met plural forms of the imperative (see also Chapter 2β, lines 15–16), used to address a command to more than one person (or animal!). The plurals of the imperatives given above are:

σπεύδετε
φιλέ-ετε > φιλεῖτε
ἔστε
ἔλθετε

Note the accent of ἔλθετε; compare ἐλθέ above.



Locate two plural imperatives in the reading passage at the beginning of this chapter. To whom (or what) are the commands addressed?

c. The *infinitive* is the form of the verb that we create in English by using the word *to*. Greek forms the infinitive by use of an ending:

**Stem:** λῡ-, *loosen, loose*
**Infinitive** λῡ́-ειν *to loosen, to be loosening*

**Stem:** φιλε-, *love*
**Infinitive** φιλέ-ειν> φιλεῖν *to love, to be loving*

**Stem:** ἐσ-, *be*
**Infinitive** ἐσ- + -ναι > εἶναι *to be*

Locate three infinitives in the reading passage at the beginning of this chapter.

### Exercise 3α

*Copy the first five of the following Greek sentences and label the function of each noun and verb by writing S, C, DO, LV, TV, IV, IMP, or INF for infinitive above the appropriate words (do not label adverbs, conjunctions, particles, words in prepositional phrases or the exclamatory ἰδού). Then translate all of the sentences.*

1. οἱ βόες οὐκέτι ἕλκουσι τὸ ἄροτρον.
2. ὅ τε Δικαιόπολις καὶ ὁ δοῦλος προσχωροῦσι καὶ βλέπουσι πρὸς τὸ ἄροτρον.
3. ὁ Δικαιόπολις, "ἰδού," φησίν· "λίθος μέγας τὸ ἄροτρον ἐμποδίζει.
4. "αἶρε τὸν λίθον καὶ ἔκφερε ἐκ τοῦ ἀγροῦ."
5. ὁ δὲ δοῦλος, "ἰδού," φησίν· "μέγας ἐστὶν ὁ λίθος· οὐ δυνατόν ἐστιν αἴρειν αὐτόν."
6. ὅ τε Δικαιόπολις καὶ ὁ δοῦλος τὸν λίθον αἴρουσι καὶ ἐκφέρουσιν ἐκ τοῦ ἀγροῦ.
7. μὴ μένετε, ὦ βόες, ἀλλὰ σπεύδετε.
8. οἱ βόες οὐκέτι μένουσιν ἀλλὰ τὸ ἄροτρον αὖθις ἕλκουσιν.

### Exercise 3β

*Translate into Greek:*

1. The oxen are sleeping in the field.
2. Come here and drive out (*use* **ἐξελαύνω**)* the oxen, slaves (**ὦ δοῦλοι**).**
   * I.e., use the correct form of the word given in parentheses.
   ** I.e., use the words given in parentheses without changing them.
3. They take the goad (**τὸ κέντρον**) and slowly approach the oxen (**τοῖς βουσί(ν)**).

4. Hurry, oxen; don't sleep in the field.
5. It is not possible to drive out (*use* ἐξελαύνω) the oxen; for they are strong (ἰσχῡροί; begin your clause with this word).

## The Deme and the Polis

As we have seen, Dicaeopolis lives in a village about ten miles or sixteen kilometers north of Athens called Cholleidae, situated between Mount Parnes and Mount Pentelicon. Such districts were called demes, and at the time of our story there were about 170 of them in Attica, differing greatly in size and population. Each deme had its own assembly, to which all adult male citizens belonged. This assembly elected a *demarch* (δήμαρχος, *mayor* or *sheriff*) and passed decrees on local affairs, both secular and religious. It kept a record of all births; a man's rights as a citizen depended on his being registered in a deme when he reached adulthood. In all official contexts a man gave his name together with that of his father and deme, e.g., Περικλῆς Ξανθίππου Χολαργεύς (Pericles, son of Xanthippus, of the deme of Cholargus).

The houses that composed these villages were mostly small and unpretentious, as far as our evidence goes. A typical house would consist of a courtyard surrounded by single-story rooms, and in one corner a storage-tower with an upper floor; this upper floor would form the women's quarters, to which women would retire if strangers called. There would be no source of water within the house itself; it had to be fetched every day from a public fountain. Light would be provided by clay lamps fired by olive oil, which was also used for cooking and washing. We may assume that the majority of the farmers lived in the village and went out to work on their farms every day, as farmers still do in parts of Greece and Italy today, where houses are as a general rule not in the fields but clustered together in hilltop villages.




Attica and surroundings



The men worked most of the day in the fields, and no doubt in the evenings they spent their time in the wineshop in the agora or marketplace, discussing farming and politics with their friends. Life was enlivened by a succession of religious festivals. An inscription from the deme of Ercheia records a list of over fifty public sacrifices performed annually, and a public sacrifice usually entailed a public feast. In the winter, at the festival of the Rural Dionysia, touring companies from Athens even brought plays out to the demes. There were also private functions performed with traditional rituals, especially celebrations of birth, marriage, and death.

The farmer's horizon was by no means bounded by the deme. When he produced a surplus of any product such as wine or olives, he would go to Athens to sell it and to buy necessities he could not produce himself. There were religious festivals at regular intervals throughout the year at Athens (see Chapter 10), which he could attend with his wife and family; these included musical, dramatic, and athletic competitions.

There were important political functions that, as an Athenian citizen, the farmer was bound to perform. Forty times a year there were regular meetings of the Athenian Assembly, attended by all adult male citizens. The farmer would in fact have been prevented by his work from attending all of these, but he would certainly have gone to some of them. Every year the assembly of the deme chose representatives for the Council of 500, which was the executive committee of the Assembly. Councilors had to be over thirty years old, and no man could serve more than twice in his lifetime. It has been calculated that sooner or later nearly every farmer would have to take his turn in this office. This might involve residence in the city since the Council met every day.

Lastly, the farmers provided the heavy armed infantry, the *hoplites* (ὁπλῖται), of the army. On reaching manhood they would have to do military training, since fighting in a hoplite line involved much practice and good discipline. In the fourth century every citizen did two years military service from the age of eighteen and thereafter was liable to be called up in an emergency.

At the end of the first year of the great war between Athens and Sparta (about a year after our story begins), the Athenian leader Pericles made a funeral oration over those who had been killed in the war. Most of his speech was devoted to praise of the ideals of Athenian democracy for which they had died. In the course of this he says: "The same people [i.e., the whole citizen body] are concerned not only with their domestic affairs but also with politics [i.e., the affairs of the city]; and although employed in different occupations, they are adequately informed on political matters. We alone consider a man who plays no part in these not as one who minds his own business but as useless" (Thucydides 2.40). The farmer's life under the Athenian democracy, despite primitive physical conditions, was far from drab.

# Ο ΑΡΟΤΟΣ (β)

"οὐ δυνατόν ἐστιν, ὦ δέσποτα, τοσούτους λίθους ἐκφέρειν."

## VOCABULARY

*Verbs*
- **λείπω**, *I leave*
- **λῡ́ω**, *I loosen, loose*

*Nouns*
- **τὸ δεῖπνον**, *dinner*
- **ὁ** or **ἡ παῖς** (**ὦ παῖ**), *boy; girl; son; daughter; child*
- **ὁ πατήρ** (**τὸν πατέρα**, **ὦ πάτερ**), *father*

*Pronoun*
- **σύ**, sing., *you*

*Adjectives*
- **ἀνδρεῖος**, *brave*
- **πολλοί**, *many*
- **τοσοῦτος**, *so great;* pl., *so great; so many*

*Preposition*
- **ἐν** + dat., *in; on*

*Adverb*
- **μηκέτι** + imperative, *don't . . . any longer!*

*Conjunction*
- **ἐπεί**, *when*

*Proper Name*
- **ὁ Φίλιππος**, *Philip*

ἐν δὲ τούτῳ προσχωρεῖ ὁ Φίλιππος· ὁ Φίλιππός ἐστιν ὁ τοῦ Δικαιοπόλιδος υἱός, παῖς μέγας τε καὶ ἀνδρεῖος· φέρει δὲ τὸ δεῖπνον πρὸς τὸν πατέρα. ἐπεὶ δὲ εἰς τὸν ἀγρὸν εἰσβαίνει, τὸν πατέρα καλεῖ καὶ λέγει· "ἐλθὲ δεῦρο, ὦ πάτερ· ἰδού, τὸ δεῖπνον φέρω. μηκέτι οὖν πόνει ἀλλὰ κάθιζε καὶ δείπνει."

[**ἐν . . . τούτῳ**, *meanwhile* **ὁ τοῦ Δικαιοπόλιδος υἱός**, *Dicaeopolis's son* **δείπνει**, *eat!*]



ὁ οὖν πατὴρ λείπει τὸ ἄροτρον καὶ καλεῖ τὸν δοῦλον. καθίζουσιν οὖν ἅμα καὶ δειπνοῦσιν. μετὰ δὲ τὸ δεῖπνον ὁ Δικαιόπολις, "μένε, ὦ παῖ," φησίν, "καὶ συλλάμβανε. φέρε τὸ σπέρμα καὶ σπεῖρε. σὺ δέ, ὦ Ξανθίᾱ, σκάπτε τοὺς λίθους καὶ ἔκφερε ἐκ τοῦ ἀγροῦ. πολλοὶ γάρ εἰσιν οἱ λίθοι καὶ μόλις δυνατόν ἐστιν ἀροῦν." ὁ δὲ Ξανθίᾱς, "ἀλλ' οὐ δυνατόν ἐστι τοσούτους λίθους ἐκφέρειν." ὁ δὲ Δικαιόπολις, "μὴ φλυάρει, ὦ Ξανθίᾱ, ἀλλὰ πόνει." πονοῦσιν οὖν ὅ τε πατὴρ καὶ ὁ παῖς καὶ ὁ δοῦλος. τέλος δὲ καταδῡ́νει μὲν ὁ ἥλιος, οἱ δὲ ἄνθρωποι οὐκέτι πονοῦσιν ἀλλὰ λῡ́ουσι μὲν τοὺς βοῦς, τὸ δὲ ἄροτρον λείπουσιν ἐν τῷ ἀγρῷ καὶ πρὸς τὸν οἶκον βραδέως βαδίζουσιν.

[**μετὰ**, *after* **σκάπτε**, *dig!* **μόλις**, *with difficulty, scarcely* **ἀροῦν**, *to plow* **τέλος**, adv., *finally* **καταδῡ́νει**, *sets*]

## WORD BUILDING

*Here are more verbs with prepositional prefixes. Give the meaning of each:*

1. εἰσπῐ́πτω 2. ἐκπῐ́πτω 3. εἰσάγω 4. προσάγω 5. προσβλέπω

## GRAMMAR

### 2. Articles, Adjectives, and Nouns; Singular and Plural, All Cases

In Chapter 2 you learned the singular forms of masculine and neuter articles, adjectives, and nouns. Here are the singulars and plurals:

| | Masculine | | | Neuter | | |
|---|---|---|---|---|---|---|
| **Nominative** | ὁ | καλὸς | ἀγρός | τὸ | καλὸν | δένδρον |
| **Genitive** | τοῦ | καλοῦ | ἀγροῦ | τοῦ | καλοῦ | δένδρου |
| **Dative** | τῷ | καλῷ | ἀγρῷ | τῷ | καλῷ | δένδρῳ |
| **Accusative** | τὸν | καλὸν | ἀγρόν | τὸ | καλὸν | δένδρον |
| **Vocative** | ὦ | καλὲ | ἀγρέ | ὦ | καλὸν | δένδρον |
| **Nominative** | οἱ | καλοὶ | ἀγροί | τὰ | καλὰ | δένδρα |
| **Genitive** | τῶν | καλῶν | ἀγρῶν | τῶν | καλῶν | δένδρων |
| **Dative** | τοῖς | καλοῖς | ἀγροῖς | τοῖς | καλοῖς | δένδροις |
| **Accusative** | τοὺς | καλοὺς | ἀγρούς | τὰ | καλὰ | δένδρα |
| **Vocative** | ὦ | καλοὶ | ἀγροί | ὦ | καλὰ | δένδρα |

Note:

1. In the neuter singular the nominative, accusative, and vocative all end in -ον; in the plural these cases all end in -α. The other neuter case endings are the same as for the masculine.
2. The genitive and dative, singular and plural, of the definite article have circumflex accents.
3. When adjectives and nouns of the type seen above are accented on the final syllable in the nominative case (e.g., καλός and ἀγρός), they change that accent to a circumflex in the genitive and dative, singular and plural (see Chapter 2, Grammar 6, page 20).

## 3. Accent Shifting

Note what happens with the accents in the nouns ἄνθρωπος and οἶκος:

| | | | | |
|---|---|---|---|---|
| **Nominative** | ὁ | ἄνθρωπος | ὁ | οἶκος |
| **Genitive** | τοῦ | ἀνθρώπου | τοῦ | οἴκου |
| **Dative** | τῷ | ἀνθρώπῳ | τῷ | οἴκῳ |
| **Accusative** | τὸν | ἄνθρωπον | τὸν | οἶκον |
| **Vocative** | ὦ | ἄνθρωπε | ὦ | οἶκε |
| **Nominative** | οἱ | ἄνθρωποι | οἱ | οἶκοι |
| **Genitive** | τῶν | ἀνθρώπων | τῶν | οἴκων |
| **Dative** | τοῖς | ἀνθρώποις | τοῖς | οἴκοις |
| **Accusative** | τοὺς | ἀνθρώπους | τοὺς | οἴκους |
| **Vocative** | ὦ | ἄνθρωποι | ὦ | οἶκοι |

The acute accent can normally stand on the third syllable from the end of a word only when the final syllable has a short vowel (not a long vowel or a diphthong), thus, ἄνθρωπος, ἄνθρωπον, and ἄνθρωπε. The accent of nouns and adjectives is persistent (see Chapter 2, Grammar 6, pages 20–21), which means that the accent remains as it is in the nominative case unless forced to change because of one of several rules. One such rule is that when the final syllable of a word with its accent on the third syllable from the end in the nominative, such as ἄνθρωπος, becomes long (i.e., has a long vowel or a diphthong), the accent shifts one syllable toward the end of the word, thus the genitive and dative singulars, ἀνθρώπου and ἀνθρώπῳ, and the genitive, dative, and accusative plurals. However, the masculine nominative plural ending -οι, although a diphthong, is counted as *short* in determining the accent, and therefore the nominative plural is ἄνθρωποι.

If a word is accented on the next to the last syllable and that syllable is long and the final syllable is short, then the accent is a circumflex, as in οἶκος, οἶκον, etc. When the final syllable becomes long, the accent changes to an acute, as in οἴκου, οἴκῳ, οἴκων, οἴκοις, and οἴκους. Note οἶκοι.



What is said above about οἶκος applies to verbs as well. Thus we have σπεύδει with an acute accent but the imperative σπεῦδε with a circumflex, since the final syllable is now short.

PRACTICE: Write complete sets of the forms of ὁ ἀνδρεῖος δοῦλος and of τὸ μακρὸν ἄροτρον.

### Exercise 3γ

*Give the correct form of the article to complete the following phrases:*

1. ___ ἀνθρώπους
2. ___ δοῦλοι
3. ἐν ___ οἴκοις
4. ἐκ ___ ἀγρῶν
5. πρὸς ___ δένδρα
6. ___ Ἀθηναίων
7. ___ ἄροτρον
8. ___ χρόνον
9. ___ πόνοι
10. ___ δούλους

### Exercise 3δ

*Complete the following sentences by giving correct endings to the verbs and nouns, and then translate:*

1. οἱ δοῦλ___ πον___ ἐν τοῖς ἀγρ___.
2. οἱ ἄνθρωπ___ σπεύδ___ πρὸς τὸν οἰκ___.
3. ὅ τε Δικαιόπολις καὶ ὁ δοῦλ___ μέν___ ἐν τ___ ἀγρῷ.
4. λείπ___ τὰ ἄροτρ___, ὦ δοῦλοι, ἐν τῷ ἀγρ___.
5. αἴρ___ τοὺς λίθ___, ὦ δοῦλοι, καὶ ἐκφέρ___ ἐκ τῶν ἀγρ___.
6. οὐ δυνατόν ἐστι τοὺς λίθους αἴρ___ καὶ ἐκφέρ___.

### Exercise 3ε

*Translate the following pairs of sentences:*

1. ὁ μὲν Δικαιόπολις ἐλαύνει τοὺς βοῦς, οἱ δὲ βόες οὐκέτι ἕλκουσι τὸ ἄροτρον.
   The master calls the slaves, but the slaves do not drive the oxen.
2. μὴ καθίζετε ἐν τῷ οἴκῳ, ὦ παῖδες, ἀλλὰ ἔλθετε δεῦρο καὶ συλλαμβάνετε.
   Don't stay in the fields, boys, but walk to the house and sleep.
3. οἱ παῖδες ἰσχῡροί εἰσιν· λίθους γὰρ μεγάλους φέρουσιν.
   The slaves are lazy; for they are no longer working.
4. λαμβάνετε τὰ ἄροτρα, ὦ δοῦλοι, καὶ σπεύδετε πρὸς τοὺς ἀγρούς.
   Loosen the oxen, slaves, and leave the plows in the field.

5. μὴ ὀκνεῖτε (*shirk*), ὦ παῖδες. ἀνδρεῖοι ἔστε.
Don't wait, boys. Don't be so lazy.

## ΟΙ ΒΟΕΣ

*Read the following passage and answer the comprehension questions:*

ὅ τε δεσπότης καὶ ὁ δοῦλος βαδίζουσι πρὸς τὸν ἀγρόν. ὁ μὲν δοῦλος τὸ ἄροτρον φέρει, ὁ δὲ δεσπότης ἐλαύνει τοὺς βοῦς. ἐπεὶ δὲ τῷ ἀγρῷ προσχωροῦσιν, οἱ βόες οὐκέτι βαίνουσιν. ὁ οὖν δεσπότης καλεῖ αὐτοὺς καί, "μὴ μένετε, ὦ βόες," φησίν, "ἀλλὰ σπεύδετε εἰς τὸν ἀγρόν." οἱ δὲ βόες ἔτι μένουσιν. ὁ οὖν δεσπότης τὸν δοῦλον καλεῖ καί, "ἐλθὲ δεῦρο, ὦ Ξανθίᾱ," φησίν, "καὶ συλλάμβανε. οἱ γὰρ βόες μένουσιν, καὶ οὐ δυνατόν ἐστιν ἐλαύνειν αὐτοὺς εἰς τὸν ἀγρόν." ὁ μὲν οὖν δοῦλος προσχωρεῖ καί, "ἀλλὰ δυνατόν ἐστιν," φησίν· "ἰδού," καὶ κεντεῖ τοὺς βοῦς. οἱ δὲ οὐκέτι μένουσιν ἀλλὰ σπεύδουσιν εἰς τὸν ἀγρόν.

[**αὐτούς**, *them* **κεντεῖ**, *he goads* **οἱ δέ**, *and they*]

1. What are the master and slave doing?
2. What happens when they approach the field?
3. What does the master do and with what result?
4. What does the master do in his helplessness?
5. What does the slave do that the master did not do? With what result?

### Exercise 3ζ

*Translate into Greek:*

1. The master hurries into the field.
2. He looks at (toward) the field and says, "So many stones are in the field! It is not possible to plow (ἀροῦν).
3. "Come here, slave, and carry the stones out of the field."
4. But the slave says, "It is not possible to carry so many stones out of the field. So *you* help!"



## Classical Greek

Menander

Menander of Athens (344–ca. 292 B.C.) wrote over 100 comedies of the type now called New Comedy, concerned with the every-day life of ordinary Athenians. One of his most famous sayings is the following (*Twice a Swindler*, fragment 4):

ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνῄσκει νέος.

[**ὅν**, *(He) whom* **οἱ θεοὶ**, *the gods* **ἀποθνῄσκει**, *dies* **νέος**, *young*]

## New Testament Greek

Luke 6.46

Early in his ministry Jesus said to his disciples:

"τί δέ με καλεῖτε, 'κύριε, κύριε,' καὶ οὐ ποιεῖτε ἃ λέγω;"

[**με**, *me* **κύριε**, *Lord* **ποιεῖτε**, *you do* **ἃ**, *(the things) that, what*]

The passage continues with the contrast between the man who hears Jesus' words and acts on them, like a man who builds a house with solid foundations, and the man who hears and does not act, like a man who builds his house without foundations.



Dog and cow in a field with a tree

# 4
# ΠΡΟΣ ΤΗΙ ΚΡΗΝΗΙ (α)

αἱ κόραι πληροῦσι τὰς ὑδρίας πρὸς τῇ κρήνῃ.

## VOCABULARY

*Verbs*

**ἀκούω** *I listen;* + gen. of person, acc. of thing, *I listen to; I hear*
**ἐθέλω** + infin., *I am willing; I wish*
**ἔχω**, *I have; I hold*
**θεωρέω**, *I watch; I see*
**ποιέω**, *I make; I do*
**χαίρω**, *I rejoice*
**χαῖρε**; pl., **χαίρετε**, *greetings!*

*Nouns*

**ὁ ἄγγελος**, *messenger*
**ὁ ἀνήρ** (τὸν ἄνδρα, ὦ ἄνερ), *man; husband*
**ἡ γυνή** (ὦ γύναι, αἱ γυναῖκες, τὰς γυναῖκας), *woman; wife*
**ἡ ἑορτή**, *festival*
**ἡ θυγάτηρ** (ὦ θύγατερ), *daughter*
**ὁ καιρός**, *time; right time*
**ἡ κρήνη**, *spring*
**ἡ μήτηρ**, *mother*
**ἡ ὑδρίᾱ**, *water jar*
**ὁ χορός**, *dance; chorus*

*Adjectives*

**ἄργός** [= ἀεργός = ἀ-, *not* + ἐργ-, *work*], **ἄργόν**,* *not working, idle, lazy*
**φίλος, φίλη, φίλον**, *dear;* as noun, ὁ φίλος or ἡ φίλη, *friend*

*Prepositions*

**ἀπό** + gen., *from*
**ἀπο-**, as a prefix in compound verbs, *away*
**πρός** + dat., *at, near, by;*** + acc., *to; toward*

*Adverbs*

**ἰδού**, *look!*
**καί**, *even; also, too*
**μάλα**, *very*
**μόλις**, *with difficulty; scarcely; reluctantly*
**πρῶτον**, *first*
**ταχέως**, *quickly, swiftly*

*Particle*

**ἆρα**: introduces a question

*Expression*

**ἐν νῷ ἔχω** + infin., *I have in mind; I intend*





*Proper Names*

**τὰ Διονῦσια**, *the festival of Dionysus*
**τὰ Διονῦσια ποιῶ**, *I celebrate the festival of Dionysus*
**ἡ Μέλιττα** [= *bee*], *Melissa* (daughter of Dicaeopolis and Myrrhine)
**ἡ Μυρρίνη** [= *myrtle*, a shrub or tree], *Myrrhine* (wife of Dicaeopolis)

*Compound adjectives do not have separate feminine forms; the masculine serves for feminine as well; thus, **ἄργός** can be either masculine or feminine.

**Note that new meanings of prepositions are underlined and that previously given meanings are repeated.

τῇ δὲ ὑστεραίᾳ ἐπεὶ πρῶτον ἀνατέλλει ὁ ἥλιος, ἡ γυνὴ τὸν ἄνδρα καλεῖ καί, "ἔπαιρε σεαυτόν ὦ ἄνερ," φησίν· "ὁ γὰρ ἥλιος ἀνατέλλει, ὁ δὲ δοῦλος ἤδη ἄγει τοὺς βοῦς πρὸς τὸν ἀγρόν, ἐγὼ δὲ καὶ ἡ θυγάτηρ ἐν νῷ ἔχομεν βαδίζειν πρὸς τὴν κρήνην. ἔπαιρε σεαυτόν· καιρὸς γάρ ἐστι βαδίζειν πρὸς τὸν ἀγρόν." ὁ δὲ Δικαιόπολις μάλα κάμνει καὶ οὐκ ἐθέλει ἐπαίρειν ἑαυτόν· λέγει οὖν· "μὴ χαλεπὴ ἴσθι, ὦ γύναι· μάλα γὰρ κάμνω καὶ ἐθέλω καθεύδειν." ἡ δὲ γυνή, "ἀλλ' οὐ δυνατόν ἐστιν," φησίν, "ἔτι καθεύδειν· καιρὸς γάρ ἐστι πονεῖν. ἔπαιρε σεαυτόν, ὦ ἀργέ."

[**τῇ . . . ὑστεραίᾳ**, *the next day* **ἀνατέλλει**, *is rising* **ἔπαιρε σεαυτόν**, *lift yourself! = get up!* **κάμνει**, *is tired* **ἑαυτόν**, *himself*]

ὁ μὲν οὖν Δικαιόπολις μόλις ἐπαίρει ἑαυτὸν καὶ βαδίζει πρὸς τὸν ἀγρόν, ἡ δὲ Μυρρίνη καὶ ἡ Μέλιττα πρὸς τὴν κρήνην βαδίζουσιν (ἡ Μέλιττα θυγάτηρ ἐστίν, κόρη μάλα καλή). ἥ τε οὖν μήτηρ καὶ ἡ θυγάτηρ βραδέως βαδίζουσιν· ὑδρίᾱς γὰρ φέρουσιν· μεγάλαι δ' εἰσὶν αἱ ὑδρίαι, ὥστε οὐ δυνατόν ἐστι σπεύδειν.

[**κόρη**, *girl* **ὥστε**, *so that*]

ἐπεὶ δὲ τῇ κρήνῃ προσχωροῦσιν, ἰδού, ἄλλαι γυναῖκες ἤδη πάρεισι καὶ τὰς ὑδρίᾱς πληροῦσιν. ἡ οὖν Μυρρίνη τὰς γυναῖκας καλεῖ καί, "χαίρετε, ὦ φίλαι," φησίν· "ἆρα ἤδη πληροῦτε τὰς ὑδρίᾱς;" αἱ δὲ λέγουσιν· "χαῖρε καὶ σύ· ναί, ἤδη πληροῦμεν τὰς ὑδρίᾱς· πρῴ γὰρ πάρεσμεν. ἀλλ' ἐλθὲ δεῦρο ταχέως καὶ ἄκουε· ἄγγελος γὰρ ἥκει ἀπὸ τοῦ ἄστεως· λέγει δὲ ὅτι οἱ Ἀθηναῖοι τὰ Διονῦσια ποιοῦσιν. ἡμεῖς

οὖν ἐν νῷ ἔχομεν βαδίζειν πρὸς τὸ ἄστυ· τοὺς γὰρ χοροὺς ἐθέλομεν θεωρεῖν καὶ τοὺς ἀγῶνας καὶ τὰ δράματα. ἆρα ἐθέλεις καὶ σὺ τὴν ἑορτὴν θεωρεῖν;"

[**ἄλλαι**, *other* **πληροῦσιν**, *are filling* **πληροῦτε**, *are you* (pl.) *filling?* **αἱ δὲ**, *and they* **ναί**, *yes* **πρῴ**, *early in the day* **ἥκει**, *has come* **τοῦ ἄστεως**, *the city* **ὅτι**, *that* **ἡμεῖς**, *we* **τοὺς ἀγῶνας**, *the contests* **τὰ δράματα**, *the plays*]

## WORD STUDY

*Identify the Greek stems in the English words below and give the meanings of the English words:*

1. acoustics
2. angel
3. gynecology
4. choreographer
5. tachometer
6. philanthropist
7. polyandry
8. misogynist

## GRAMMAR

### 1. Verb Forms: All Persons, Singular and Plural

The reading passage at the beginning of this chapter introduces 1st and 2nd person plural verb forms, so you have now met verbs in all three persons, singular and plural. The following chart contains imperatives and infinitives as well. Be sure to learn all of the following forms thoroughly:

**Stem:** λῡ-, *loosen, loose*

| | **Indicative** | **Imperative** | **Infinitive** |
|---|---|---|---|
| **Singular** | | | |
| **1st** | λῡ́-ω | | λῡ́ειν |
| **2nd** | λῡ́-εις | λῦε | |
| **3rd** | λῡ́-ει | | |
| **Plural** | | | |
| **1st** | λῡ́-ομεν | | |
| **2nd** | λῡ́-ετε | λῦετε | |
| **3rd** | λῡ́-ουσι(ν) | | |



**Stem:** φιλε-, *love*

| | **Indicative** | | **Imperative** | **Infinitive** |
|---|---|---|---|---|
| **Singular** | | | | |
| **1st** | φιλέ-ω > | φιλῶ | | φιλέ-ειν > φιλεῖν |
| **2nd** | φιλέ-εις > | φιλεῖς | φίλε-ε > φίλει | |
| **3rd** | φιλέ-ει > | φιλεῖ | | |
| **Plural** | | | | |
| **1st** | φιλέ-ομεν > | φιλοῦμεν | | |
| **2nd** | φιλέ-ετε > | φιλεῖτε | φιλέ-ετε > φιλεῖτε | |
| **3rd** | φιλέ-ουσι(ν) > | φιλοῦσι(ν) | | |

**Stem:** ἐσ- (with some changes in some of the forms), *be*

| | | | |
|---|---|---|---|
| **Singular** | | | |
| **1st** | εἰμί* | | εἶναι |
| **2nd** | εἶ | ἴσθι | |
| **3rd** | ἐστί(ν)* | | |
| **Plural** | | | |
| **1st** | ἐσμέν* | | |
| **2nd** | ἐστέ* | ἔστε | |
| **3rd** | εἰσί(ν)* | | |

*enclitic

N.B. Verbs with stems ending in -ε- (e.g., φιλε-) are called *contract verbs*, because the vowel of the stem contracts with the vowel of the ending (remember that ει and ου represent long vowels; see page xiv). You have observed this with verbs such as φιλέω from the beginning of the course. The following rules for contractions may be observed:

1. ε + ω > ω
2. ε + ει > ει
3. ε + ε > ει
4. ε + ο > ου
5. ε + ου > ου

The reading passage above contains the following -ε- contract verbs: καλεῖ, προσχωροῦσιν, and θεωρεῖν. Locate all examples of these verbs in the reading.

The reading passage also contains examples of a contract verb of another type, with stem ending in -ο-, namely, the verb πληρόω, *I fill*. Locate three examples of this verb in the reading. For another example of a verb with its stem in -ο-, see ἁροῦτε (2β:16). There are few verbs of this type, and their forms need not be learned now but will be presented in Chapter 15.

A third type of contract verb, with stem ending in -α-, e.g., τῑμάω, *I honor*, will be presented in Chapter 5.

### Exercise 4α

*Make two photocopies of the Verb Chart on page 282 and fill in the present indicative, imperative, and infinitive forms of ἔχω and θεωρέω. Keep these charts for reference.*

## 2. Declensions of Nouns and Adjectives

Greek nouns and adjectives are divided into three groups or *declensions*. In the reading passage at the beginning of this chapter are three feminine nouns (ἡ κρήνη, ἡ ὑδρίᾱ, and ἡ Μέλιττᾰ), which are said to belong to the *1st declension*, which has nouns with stems that originally ended in -ᾱ or -ᾰ (this group of nouns is therefore sometimes called the *alpha declension*). In nouns like ἡ κρήνη, the original ᾱ of the stem has been changed to η in the singular in Attic Greek.

In Chapters 2 and 3 you saw charts of masculine and neuter nouns and adjectives (καλὸς ἀγρός and καλὸν δένδρον) that are said to belong to the *2nd* or *omicron declension*.

Nouns such as ἀνήρ, γυνή, θυγάτηρ, and μήτηρ, which you have met in the reading at the beginning of this chapter, are said to belong to the *3rd declension*. The endings of 3rd declension nouns will be presented in Chapter 7; for the time being you can identify their case and number by observing the article that accompanies them.

## 3. Feminine Nouns and Adjectives of the 1st Declension

Most nouns of the 1st declension are feminine in gender. It is convenient to divide them into the following four types (masculine nouns of the 1st declension will be presented in the second half of this chapter).

### *Type 1: ἡ κρήνη*

The original ᾱ of the stem has been changed to η in the singular in Attic Greek:

| | Singular | | | Plural | | |
|---|---|---|---|---|---|---|
| **Nom.** | ἡ | καλὴ | κρήνη | αἱ | καλαὶ | κρῆναι |
| **Gen.** | τῆς | καλῆς | κρήνης | τῶν | καλῶν | κρηνῶν |
| **Dat.** | τῇ | καλῇ | κρήνῃ | ταῖς | καλαῖς | κρήναις |
| **Acc.** | τὴν | καλὴν | κρήνην | τὰς | καλὰς | κρήνᾱς |
| **Voc.** | ὦ | καλὴ | κρήνη | ὦ | καλαὶ | κρῆναι |



Note:

1. The genitive and dative, singular and plural, of the feminine definite article have circumflex accents, just as do those forms of the masculine and neuter (see Chapter 3, Grammar 2, pages 31–32).
2. When adjectives and nouns of the 1st declension are accented on the final syllable in the nominative case (e.g., καλή), they change that accent to a circumflex in the genitive and dative, singular and plural (again, see Chapter 3, Grammar 2, pages 31–32, for the same thing with masculine and neuter adjectives and nouns).
3. The accent of nouns and adjectives is persistent (see Chapter 2, Grammar 6, pages 20–21). However, in any Greek word, when the next to the last syllable is long and receives the accent and the final syllable is short, the next to the last syllable will have a circumflex instead of an acute accent (see Chapter 3, Grammar 3, page 32). The nominative plural ending -αι, although a diphthong, is counted as *short* in determining the accent, thus κρῆναι has a circumflex accent. Remember that the nominative plural ending of masculine nouns and adjectives of the 2nd declension, -οι, is also counted as short (see Chapter 3, Grammar 3, page 32).
4. The genitive plural of all 1st declension nouns has a circumflex accent on the final syllable; the original -άων ending contracted to -ῶν.

### *Type 2: ἡ ὑδρίᾱ*

After ε, ι, or ρ, the original -ᾱ of the stem was retained in Attic Greek:

| | | | | |
|---|---|---|---|---|
| **Nom.** | ἡ | ὑδρίᾱ | αἱ | ὑδρίαι |
| **Gen.** | τῆς | ὑδρίᾱς | τῶν | ὑδριῶν |
| **Dat.** | τῇ | ὑδρίᾳ | ταῖς | ὑδρίαις |
| **Acc.** | τὴν | ὑδρίᾱν | τὰς | ὑδρίᾱς |
| **Voc.** | ὦ | ὑδρίᾱ | ὦ | ὑδρίαι |

The word κόρη, *girl*, is an exception to this rule; it has the same endings as κρήνη above.

### *Type 3: ἡ μέλιττᾰ*

A third group consists of nouns ending in -ᾰ, as Μέλιττᾰ; as a common noun meaning *bee*, this noun is declined as follows:

| | | | | |
|---|---|---|---|---|
| **Nom.** | ἡ | μέλιττᾰ | αἱ | μέλιτται |
| **Gen.** | τῆς | μελίττης | τῶν | μελιττῶν |
| **Dat.** | τῇ | μελίττῃ | ταῖς | μελίτταις |
| **Acc.** | τὴν | μέλιττᾰν | τὰς | μελίττᾱς |
| **Voc.** | ὦ | μέλιττᾰ | ὦ | μέλιτται |

Note the forms with η in the genitive and dative singular.

***Type 4: ἡ μάχαιρᾰ***

If the -ᾰ is preceded by ε, ι, or ρ, long α appears in the genitive and dative, as in μάχαιρᾰ, *knife*:

| | | | | |
|---|---|---|---|---|
| **Nom.** | ἡ | μάχαιρᾰ | αἱ | μάχαιραι |
| **Gen.** | τῆς | μαχαίρᾱς | τῶν | μαχαιρῶν |
| **Dat.** | τῇ | μαχαίρᾳ | ταῖς | μαχαίραις |
| **Acc.** | τὴν | μάχαιρᾰν | τᾱ̀ς | μαχαίρᾱς |
| **Voc.** | ὦ | μάχαιρᾰ | ὦ | μάχαιραι |

Note that all 1st declension nouns decline alike in the plural.

PRACTICE: Write complete sets of the forms of ἡ ἑορτή, *festival;* ἡ οἰκίᾱ, *house;* ἡ θάλαττα, *sea;* and ἡ μοῖρα, *fate*.

### Exercise 4β

*Give the genitive of the following phrases:*

1. ἡ Μυρρίνη
2. ἡ Μέλιττα
3. ἡ καλὴ ὑδρίᾱ
4. ἡ καλὴ ἑορτή
5. ἡ καλὴ κρήνη
6. ὁ μακρὸς πόνος
7. ἡ καλὴ μέλιττα
8. τὸ καλὸν δένδρον

### Exercise 4γ

*Supply the correct form of the definite article in the following phrases:*

1. ___ καλαὶ γυναῖκες
2. ἐν ___ ἀγρῷ
3. πρὸς ___ κρήνῃ
4. ___ ἄλλων ἀνδρῶν
5. ἐκ ___ γῆς (*earth*)
6. ἐν ___ ὑδρίαις
7. ___ μεγάλα δένδρα
8. ___ ἄγγελοι

### Exercise 4δ

*Copy the following Greek sentences and label the function of each noun and verb by writing S, C, DO, LV, TV, IV, IMP, or INF above the appropriate words (do not label other words). Then put into the plural and translate:*

1. ἡ κόρη ἄγει τὴν φίλην ἐκ τοῦ ἀγροῦ.
2. ἡ δούλη τὴν ὑδρίᾱν φέρει πρὸς τὴν κρήνην.
3. καλή ἐστιν ἡ κόρη· ἆρ' οὐκ ἐθέλεις αὐτὴν (*her*) καλεῖν;



4. χαῖρε, ὦ κόρη· ἆρα βαδίζεις πρὸς τὴν οἰκίᾱν; (ἡ **οἰκίᾱ**, *house, home*)
5. ἐν νῷ ἔχω λείπειν τὴν ὑδρίᾱν ἐν τῇ οἰκίᾳ καὶ συλλαμβάνειν.

### Exercise 4ε

*Put into the singular and translate:*

1. αἱ φίλαι μένουσι πρὸς ταῖς κρήναις.
2. οἱ ἄνθρωποι φέρουσι τὰ ἄροτρα ἐκ τῶν ἀγρῶν.
3. ἀκούετε, ὦ φίλοι· ἐν νῷ ἔχομεν βαδίζειν πρὸς τᾱ̀ς οἰκίᾱς.
4. τί (*what*) ποιεῖτε, ὦ δοῦλοι; μὴ οὕτω σκαιοὶ (*clumsy*) ἔστε.

## Women

When Pericles drew to the end of his funeral oration, he finally had a word for the widows of the dead: "If I should say a word on the duties of the wives who will now be widows, I will sum up the whole in a short piece of advice: your great glory is not to fall beneath the nature you have been given, and hers is the greatest glory who is least talked about among the men for praise or for blame." Women lived in the shadows of their men. This is clearly seen from their legal position; they were treated in law as minors, being under the tutelage of their fathers or guardians until they were married and thereafter under the tutelage of their husbands. They could not own property in their own right; they had no place in public life, no vote in the Assembly, and no seat on the juries.

Their life centered on the *oikos*, and here they were important and respected figures. The fourth century Athenian writer Xenophon in a work called *Oikonomikos* (which means "management of the *oikos*," not "economics" in its modern sense) gives this advice to a young bride:

Two girls, one holding a writing tablet

> Your business will be to stay indoors and help to dispatch the servants who work outside, while supervising those who work indoors. You will receive incoming revenue and allocate it to any necessary expenditure; you will be responsible for any surplus and see that the allocation for the year's expenses is not spent in a month. When wool is delivered to you, you will see that garments are made for those who need them, and you will take care that the dried grain is kept fit for consumption. And there is another of your duties that I'm afraid may seem to you rather thankless—you will have to see that any of the servants who is ill gets proper treatment. (*Oikonomikos* 7.35–37)

The duties of a farmer's wife were similar, though instead of organizing slaves she had to do the work herself. The work was endless and gave women little leisure.

Marriages took place early; a girl might be betrothed at five and married at fifteen, and marriages were arranged by parents, often with considerations of property in mind.

Nevertheless, Athenian art shows us many scenes of contented domestic life, and inscriptions testify to happy marriages: "In this tomb lies Chaerestrate: her husband loved her while she was alive and grieved for her when she died" (G. Kaibel, *Epigrammata Graeca ex lapidibus conlecta*, 44, 2–3, Piraeus, fourth or third century B.C.). The husband was his wife's protector and kept her safe from the dangers of life that lay outside the *oikos*. Even in the house she had no contact with men outside the family; if strangers called, she would retire to the women's quarters. In the opening scene of Euripides' tragedy, *Electra,* Electra is talking to women of the village outside her house, when two strange men appear. She immediately says to the women: "You flee down the path and I will take refuge in the house." Later her husband, a farmer, appears when she is talking to the men who claim to have brought news of her brother; he says: "Who are these strangers at our door? Why have they come to our country dwelling? Do they want me? (*to Electra*) It's a disgrace, you know, for a woman to stand around with young men."

But women's lives were not as confined as we have so far suggested. They attended the religious festivals in both deme and city, including, probably, the dramatic festivals. They had important functions in religious rites; they were priestesses in more than forty public cults, and they formed choirs and played a leading role in processions. Some of the most powerful figures in Greek tragedy are women, and all three of the great tragedians, especially Euripides, show deep insight into the character of women and portray them sympathetically. Despite the restrictions that hedged her around, the Athenian woman was no cipher. The sixth-century poet Semonides writes of the good woman:

> The gods made her of honey, and blessed is the man who gets her. His property flourishes and is increased by her. She grows old with a husband she loves and who loves her, the mother of a handsome and reputable family. She stands out among all women, and a godlike beauty plays around her. She takes no pleasure in sitting among women where they tell stories about love. (Semonides 7.83–91)



## Greek Wisdom

See page 70

καιρὸν γνῶθι. Πιττακός (of Mitylene)



Women drawing water at a fountain

# ΠΡΟΣ ΤΗΙ ΚΡΗΝΗΙ (β)

ἡ Μέλιττα, "οὐκ αἰτίᾱ ἐγώ," φησίν· "μεγάλη γάρ ἐστιν ἡ ὑδρίᾱ."

## VOCABULARY

*Verbs*
- **πείθω**, *I persuade*
- **στενάζω**, *I groan*

*Noun*
- **ἡ γῆ**, *land; earth; ground*
- **ἡ ὁδός**, *road; way; journey*

*Adjectives*
- **ἄλλος, ἄλλη, ἄλλο**, *other, another*
- **ῥᾴδιος, ῥᾳδίᾱ, ῥᾴδιον**, *easy*

*Adverbs*
- **ἀεί**, *always*
- **μάλιστα**, *most, most of all; very much; especially*
- **οἴκαδε**, *homeward, to home*

*Expressions*
- **ἑορτὴν ποιῶ**, *I celebrate a festival*
- **τί**; adv., *why?* pronoun, *what?*

ἡ δὲ Μυρρίνη, "τί λέγετε, ὦ φίλαι; ἆρα ἀληθῶς ἑορτὴν ποιοῦσιν οἱ Ἀθηναῖοι; ἐγὼ μὲν μάλιστα ἐθέλω αὐτὴν θεωρεῖν· σὺ δέ, ὦ Μέλιττα, ἆρα καὶ σὺ ἐθέλεις θεωρεῖν; ἀλλ' οὐ δυνατόν ἐστιν· χαλεπὸς γάρ ἐστιν ὁ ἀνήρ· ἀεὶ γὰρ πονεῖ καὶ σπανίως ἐθέλει ἰέναι πρὸς τὸ ἄστυ."

[**ἀληθῶς**, *truly, really* **αὐτὴν**, *it* **σπανίως**, *rarely* **ἰέναι**, *to go*]

ἡ δὲ Μέλιττα, "ἀλλ' οὐ μάλα χαλεπός ἐστιν ὁ πατήρ· ῥᾴδιον γάρ ἐστι πείθειν αὐτόν." ἡ δὲ Μυρρίνη, "μὴ οὕτω φλυᾶρει ἀλλὰ τὴν ὑδρίᾱν ταχέως πλήρου· καιρὸς γάρ ἐστιν οἴκαδε ἐπανιέναι."

[**φλυᾶρει**, *talk nonsense* **πλήρου**, *fill!* **ἐπανιέναι**, *to come back, return*]



ἥ τε οὖν μήτηρ καὶ ἡ θυγάτηρ τᾶς ὑδρίᾱς ταχέως πληροῦσι καὶ οἴκαδε βαδίζουσιν. ἐν δὲ τῇ ὁδῷ πταίει ἡ Μέλιττα καὶ καταβάλλει τὴν ὑδρίᾱν πρὸς τὴν γῆν καὶ θραύει αὐτήν. στενάζει οὖν καί, "οἴμοι," φησίν, "οὐκ αἰτίᾱ εἰμὶ ἐγώ· μεγάλη γάρ ἐστιν ἡ ὑδρίᾱ, καὶ οὐ δυνατόν ἐστι φέρειν αὐτήν." ἡ δὲ μήτηρ, "τί λέγεις, ὦ θύγατερ; μὴ φλυᾶρει ἀλλὰ οἴκαδε σπεῦδε καὶ ἄλλην ὑδρίᾱν φέρε."

[**πταίει**, *stumbles* **καταβάλλει**, *drops* **θραύει**, *breaks* **οἴμοι**, *alas!*]

ἡ μὲν οὖν Μέλιττα οἴκαδε σπεύδει, ἡ δὲ Μυρρίνη βραδέως βαδίζει· μεγάλη γάρ ἐστιν ἡ ὑδρίᾱ, καὶ ἡ Μυρρίνη οὐκ ἐθέλει καταβάλλειν αὐτήν.

## WORD BUILDING

*Deduce the meaning of the words at the right from your knowledge of those at the left:*

| | | | | | |
|---|---|---|---|---|---|
| 1. | ὁ χορός | χορεύω | 4. | ὁ ἵππος (*horse*) | ἱππεύω |
| 2. | ὁ δοῦλος | δουλεύω | 5. | ὁ κίνδῡνος (*danger*) | κινδῡνεύω |
| 3. | τὸ ἄροτρον | ἀροτρεύω | 6. | ὁ ἰᾱτρός (*doctor*) | ἰᾱτρεύω |

## GRAMMAR

### 4. Masculine Nouns of the 1st Declension

Some nouns of the 1st declension are masculine in gender and end in -ης or -ᾱς in the nominative singular, in -ου in the genitive singular, and in -ᾰ or -ᾱ (or sometimes -η, not shown here) in the vocative singular. The ending -ᾱς occurs after stems ending in ε, ι, or ρ. Otherwise they have the same endings as κρήνη and ὑδρίᾱ. As examples, we give ὁ δεσπότης in the singular and plural and ὁ Ξανθίᾱς in the singular:

| | **Singular** | | **Plural** | | **Singular** | |
|---|---|---|---|---|---|---|
| **Nom.** | ὁ | δεσπότης | οἱ | δεσπόται | ὁ | Ξανθίᾱς |
| **Gen.** | τοῦ | δεσπότου | τῶν | δεσποτῶν | τοῦ | Ξανθίου |
| **Dat.** | τῷ | δεσπότῃ | τοῖς | δεσπόταις | τῷ | Ξανθίᾳ |
| **Acc.** | τὸν | δεσπότην | τοὺς | δεσπότᾱς | τὸν | Ξανθίᾶν |
| **Voc.** | ὦ | δέσποτα | ὦ | δεσπόται | ὦ | Ξανθίᾱ |

Remember that all 1st declension nouns have a circumflex accent on the final syllable of the genitive plural.

The accent of the vocative singular of ὁ δεσπότης is irregular in that it is not persistent, i.e., it does not stay on the same syllable as in the nominative. Usually the accent is persistent, as in the vocative of ὁ πολίτης, *citizen*, which is ὦ πολῖτα.

Here is the full declension of ὁ νεᾱνίᾱς, *young man*, a 1st declension masculine noun like ὁ Ξανθίᾱς above:

| | Singular | | Plural | |
|---|---|---|---|---|
| **Nom.** | ὁ | νεᾱνίᾱς | οἱ | νεᾱνίαι |
| **Gen.** | τοῦ | νεᾱνίου | τῶν | νεᾱνιῶν |
| **Dat.** | τῷ | νεᾱνίᾳ | τοῖς | νεᾱνίαις |
| **Acc.** | τὸν | νεᾱνίᾱν | τοὺς | νεᾱνίᾱς |
| **Voc.** | ὦ | νεᾱνίᾱ | ὦ | νεᾱνίαι |

PRACTICE: Write complete sets of the forms of ὁ πολίτης, *citizen*, and of ὁ ἀργὸς νεᾱνίᾱς, *the lazy young man.*

### Exercise 4ζ

*Locate all examples of the words ὁ δεσπότης and ὁ Ξανθίᾱς in the stories in Chapters 2 and 3.*

## 5. Feminine Nouns of the 2nd Declension

Some nouns of the 2nd declension decline like ἀγρός but are feminine in gender, e.g., ἡ ὁδός, *road; way; journey*, and ἡ νῆσος, *island*.

### Exercise 4η

*Locate one example of the noun ἡ ὁδός in the reading passage above.*

## 6. 1st and 2nd Declension Adjectives

Many Greek adjectives have 1st and 2nd declension endings, e.g., the adjective καλός, καλή, καλόν, *beautiful*, which we have shown along with the nouns ἀγρός, δένδρον, and κρήνη on pages 20, 31, and 40. Here are all the forms of this typical 1st and 2nd declension adjective:

| | Singular | | | Plural | | |
|---|---|---|---|---|---|---|
| | **M.** | **F.** | **N.** | **M.** | **F.** | **N.** |
| **Nom.** | καλός | καλή | καλόν | καλοί | καλαί | καλά |
| **Gen.** | καλοῦ | καλῆς | καλοῦ | καλῶν | καλῶν | καλῶν |
| **Dat.** | καλῷ | καλῇ | καλῷ | καλοῖς | καλαῖς | καλοῖς |
| **Acc.** | καλόν | καλήν | καλόν | καλούς | καλάς | καλά |
| **Voc.** | καλέ | καλή | καλόν | καλοί | καλαί | καλά |



Note that adjectives with ε, ι, or ρ preceding -ος have feminine endings that show ᾱ instead of η in the singular (like the noun ἡ ὑδρίᾱ), e.g., ῥᾴδιος, ῥᾳδίᾱ, ῥᾴδιον:

| | | | | | | |
|---|---|---|---|---|---|---|
| **Nom.** | ῥᾴδιος | ῥᾳδίᾱ | ῥᾴδιον | ῥᾴδιοι | ῥᾴδιαι | ῥᾴδια |
| **Gen.** | ῥᾳδίου | ῥᾳδίᾱς | ῥᾳδίου | ῥᾳδίων | ῥᾳδίων | ῥᾳδίων |
| **Dat.** | ῥᾳδίῳ | ῥᾳδίᾳ | ῥᾳδίῳ | ῥᾳδίοις | ῥᾳδίαις | ῥᾳδίοις |
| **Acc.** | ῥᾴδιον | ῥᾳδίᾱν | ῥᾴδιον | ῥᾳδίους | ῥᾳδίᾱς | ῥᾴδια |
| **Voc.** | ῥᾴδιε | ῥᾳδίᾱ | ῥᾴδιον | ῥᾴδιοι | ῥᾴδιαι | ῥᾴδια |

Remember:

1. The accent of adjectives is persistent, i.e., it stays where it is in the nominative masculine singular unless forced to move.
2. 1st and 2nd declension adjectives with an acute accent on the ultima circumflex the genitive and dative singular and plural.
3. Unlike nouns of the 1st declension, these adjectives do not circumflex the ultima of the genitive plural (e.g., ῥᾳδίων) unless the accent is already on the ultima (e.g., καλῶν).

In future vocabulary lists adjectives with 1st and 2nd declension endings will be given in abbreviated form, e.g., καλός, -ή, -όν or ῥᾴδιος, -ᾱ, -ον (remember the accent shift in the feminine: ῥᾳδίᾱ).

Two common Greek adjectives, μέγας, μεγάλη, μέγα, *big*, and πολύς, πολλή, πολύ, *much*, pl., *many*, have forms from two different stems:

**Stems:** μεγα- and μεγαλ-

| | | | | | | |
|---|---|---|---|---|---|---|
| **Nom.** | μέγα-ς | μεγάλη | μέγα | μεγάλοι | μεγάλαι | μεγάλα |
| **Gen.** | μεγάλου | μεγάλης | μεγάλου | μεγάλων | μεγάλων | μεγάλων |
| **Dat.** | μεγάλῳ | μεγάλῃ | μεγάλῳ | μεγάλοις | μεγάλαις | μεγάλοις |
| **Acc.** | μέγα-ν | μεγάλην | μέγα | μεγάλους | μεγάλᾱς | μεγάλα |
| **Voc.** | μεγάλε | μεγάλη | μέγα | μεγάλοι | μεγάλαι | μεγάλα |

**Stems:** πολυ- and πολλ-

| | | | | | | |
|---|---|---|---|---|---|---|
| **Nom.** | πολύ-ς | πολλή | πολύ | πολλοί | πολλαί | πολλά |
| **Gen.** | πολλοῦ | πολλῆς | πολλοῦ | πολλῶν | πολλῶν | πολλῶν |
| **Dat.** | πολλῷ | πολλῇ | πολλῷ | πολλοῖς | πολλαῖς | πολλοῖς |
| **Acc.** | πολύ-ν | πολλήν | πολύ | πολλούς | πολλάς | πολλά |
| **Voc.** | none | | | | | |

### Exercise 4θ

*Locate all examples of the adjectives μέγας and πολύς in the stories in Chapters 1, 2, 3, and 4.*

## 7. Formation of Adverbs

Many adverbs may be formed in Greek by changing the last letter of the genitive plural of the corresponding adjective from ν to ς, e.g.:

καλῶν > καλῶς, *beautifully; well*

### Exercise 4ι

*Find five adverbs ending in -ως in the reading passage on pages 46–47.*

## 8. The Definite Article as Case Indicator

Along with your study of 1st and 2nd declension nouns on pages 31 and 40 you have learned all the forms of the definite article. Review them in the following chart:

| | Singular | | | Plural | | |
|---|---|---|---|---|---|---|
| | **M.** | **F.** | **N.** | **M.** | **F.** | **N.** |
| **Nom.** | ὁ | ἡ | τό | οἱ | αἱ | τά |
| **Gen.** | τοῦ | τῆς | τοῦ | τῶν | τῶν | τῶν |
| **Dat.** | τῷ | τῇ | τῷ | τοῖς | ταῖς | τοῖς |
| **Acc.** | τόν | τήν | τό | τούς | τάς | τά |

In your reading of Greek you should take full advantage of the definite article as a case indicator, which enables you to determine the case of nouns that you have not yet learned to decline. For example in the phrase τοῦ ἀνδρός the definite article τοῦ tells you that ἀνδρός is genitive singular. Remember that the vocative, which is not accompanied by the definite article, is usually preceded by ὦ.

### Exercise 4κ

*Give the case and number of each of the following phrases:*

1. τοὺς ἄνδρας
2. τῇ μητρί
3. τῷ παιδί
4. τὴν ναῦν
5. ὦ πάτερ
6. τὸν βασιλέᾱ
7. τῆς πόλεως
8. τοῦ δεσπότου
9. ταῖς γυναιξί(ν)
10. τοῦ κυνός
11. οἱ κύνες
12. τῆς μητρός
13. τοῖς παισί(ν)
14. τὸν πατέρα
15. ὦ γύναι



# ΑΙ ΓΥΝΑΙΚΕΣ ΤΟΥΣ ΑΝΔΡΑΣ ΠΕΙΘΟΥΣΙΝ

*Read the following passage and answer the comprehension questions:*

πολλαὶ γυναῖκες ἥκουσιν εἰς τὴν κρήνην. ἐν ᾧ δὲ πληροῦσι τὰς ὑδρίᾱς, ἄγγελος προσχωρεῖ. ἐπεὶ δὲ πάρεστιν, "ἀκούετε, ὦ γυναῖκες," φησίν· "οἱ γὰρ Ἀθηναῖοι ἑορτὴν ποιοῦσιν. ἆρ' οὐκ ἐθέλετε αὐτὴν θεωρεῖν; πείθετε οὖν τοὺς ἄνδρας ὑμᾶς ἐκεῖσε ἄγειν." αἱ δὲ γυναῖκες χαίρουσι καὶ λέγουσιν· "μάλιστα ἐθέλομεν θεωρεῖν, καὶ ἐν νῷ ἔχομεν τοὺς ἄνδρας πείθειν." τὰς οὖν ὑδρίᾱς ταχέως πληροῦσι καὶ οἴκαδε σπεύδουσιν. ἐπεὶ δὲ ἥκουσιν οἱ ἄνδρες ἐκ τῶν ἀγρῶν, ἑκάστη ἡ γυνὴ λέγει· "ἄκουε, ὦ φίλε ἄνερ· ἄγγελος γὰρ πάρεστι καὶ λέγει ὅτι οἱ Ἀθηναῖοι ἑορτὴν ποιοῦσιν. ἆρ' οὐκ ἐθέλεις με ἐκεῖσε ἄγειν;" καὶ ῥᾳδίως πείθουσιν αὐτούς· οἱ γὰρ ἄνδρες αὐτοὶ ἐθέλουσι τὴν ἑορτὴν θεωρεῖν.

[**ἐν ᾧ**, *while* **ὑμᾶς**, acc. pl., *you* **ἐκεῖσε**, *there = thither* **ἑκάστη**, *each* **με**, *me* **αὐτούς**, *them* **αὐτοὶ**, *themselves*]

1. What are the women doing when the messenger approaches?
2. What are the Athenians doing?
3. What does the messenger tell the women to do? (Quote his words.)
4. How do the women react to the messenger's announcement?
5. What do the women do with haste?
6. What do the women do when their husbands return from the fields?
7. Why do they succeed in persuading their husbands?

Two women are folding up a finished piece of cloth over a stool, on which lies another finished piece. On either side a woman stands spinning. On page 112 there is a scene of weaving from the same vase.

**Exercise 4λ**

*Translate into Greek:*

1. Dicaeopolis approaches Myrrhine and says, "Greetings, dear wife (**γύναι**). What are you doing?"
2. "*I* am hurrying to the spring. For I wish to carry water (**τὸ ὕδωρ**) to the house. But what are *you* doing?"
3. "The slave and I are hurrying to the field. But listen.
(*Reverse the polite order of the subjects in the English and put the 1st person pronoun first in the Greek.*)
4. "The Athenians are celebrating a festival. Do you wish to see it?"
5. "*I* very much wish to see it. So don't go (**μὴ . . . ἴθι**; *put μή first in your sentence*) to the field but take me to the city (**τὸ ἄστυ**)."

Four dancing girls on a sheep's knucklebone in ceramic



## Classical Greek

Callimachus

For Callimachus, see page 23. His work included a number of funerary epigrams, including the following (21), in which a father laments his dead son.

δωδεκέτη τὸν παῖδα πατὴρ ἀπέθηκε Φίλιππος
ἐνθάδε, τὴν πολλὴν ἐλπίδα Νῑκοτέλην.

[**δωδεκέτη**, *twelve year old* **ἀπέθηκε**, *laid to rest* **ἐνθάδε**, *here* **ἐλπίδα**, *hope*]

## New Testament Greek

Luke 6.45

The following comes from a collection of the sayings of Jesus.

"ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίᾱς προφέρει τὸ ἀγαθόν, καὶ ὁ πονηρὸς ἐκ τοῦ πονηροῦ προφέρει τὸ πονηρόν."

[**ἀγαθὸς**, *good* **θησαυροῦ**, *treasure* **τῆς καρδίᾱς**, *of his heart* **προφέρει**, *brings forth* **πονηρὸς**, *evil*]

Jesus concludes: "For his mouth speaks from the abundance of his heart."

# 5
# Ο ΛΥΚΟΣ (α)



ὁ Φίλιππος λαγὼν ὁρᾷ ἐν τῷ ἀγρῷ τρέχοντα καὶ βοᾷ, "ἴθι δή, Ἄργε, δίωκε."

## VOCABULARY

*Verbs*

**ἄπειμι**, *I am away (from)*
Cf. **πάρειμι**
**βοάω**, *I shout*
**διώκω**, *I pursue, chase*
**ζητέω**, *I seek, look for*
**ἴθι**; pl., **ἴτε**, *go!*
**ἴθι δή**, *go on!*
**ὁράω**, *I see*
**τῑμάω**, *I honor*
**τρέχω**, *I run*
**φεύγω**, *I flee; I escape*
**φυλάττω**, *I guard*

*Nouns*

**ὁ** or **ἡ κύων** (τὸν or τὴν κύνα, ὦ κύον), *dog*
**ὁ λαγώς** (τὸν λαγών), *hare*
**ὁ λύκος**, *wolf*
**ἡ οἰκίᾱ**, *house; home; dwelling*
**τὸ ὄρος** (τοῦ ὄρους, τοῖς ὄρεσι(ν)), *mountain; hill*
**ὁ πάππος**, *grandfather*
**τὰ πρόβατα**, pl., *sheep*

*Adjective*

**ἄκρος, -ᾱ, -ον**, *top (of)*
**ἄκρον τὸ ὄρος**, *the top of the mountain / hill*
**ῥᾴθῡμος** [= ῥᾲ, *easily* + θῡμός, *spirit*], **-ον**, *careless*

*Prepositions*

**ἀνά** + acc., *up*
**κατά** + acc., *down*

*Adverb*

**ποῦ**; *where?*

*Conjunctions*

**οὐδέ**, *and . . . not; nor; not even*
**οὔτε . . . οὔτε**, note the accent, *neither . . . nor*
**ὥστε**, note the accent + indicative or infinitive, introducing a clause that expresses result, *so that, that, so as to*





*Expression*

**δι' ὀλίγου**, *soon*

*Proper Name*

**ὁ Ἄργος**, *Argus* (name of a dog; cf. ἀργός, -ή, -όν, *shining; swift*)

ἐν ᾧ δ' ἄπεισιν ἥ τε Μυρρίνη καὶ ἡ Μέλιττα, ὁ μὲν πάππος πονεῖ ἐν τῷ κήπῳ, ὁ δὲ παῖς καὶ ὁ Ἄργος βαδίζουσι πρὸς τὸ αὔλιον· ὁ Ἄργος κύων ἐστὶ μέγας τε καὶ ἰσχῡρός· τήν τ' οἰκίᾱν φυλάττει καὶ τὰ πρόβατα. ἐν ᾧ δὲ βαδίζουσιν ὅ τε παῖς καὶ ὁ κύων ἀνὰ τὴν ὁδόν, ὁ Φίλιππος λαγὼν ὁρᾷ ἐν τῷ ἀγρῷ τρέχοντα· λῡ́ει οὖν τὸν κύνα καί, "ἴθι δή, Ἄργε," φησίν· "δίωκε." ὁ μὲν οὖν Ἄργος ὑλακτεῖ καὶ διώκει τὸν λαγών, ὁ δὲ φεύγει ἀνὰ τὸ ὄρος. οὕτω δὲ ταχέως τρέχουσιν ὥστε δι' ὀλίγου οὐ δυνατόν ἐστιν ὁρᾶν οὔτε τὸν κύνα οὔτε τὸν λαγών.

[**ἐν ᾧ**, *while* **τῷ κήπῳ**, *the garden* **τὸ αὔλιον**, *the sheepfold* **τρέχοντα**, *running* **ὑλακτεῖ**, *barks*]

ὁ οὖν Φίλιππος σπεύδει μετ' αὐτοὺς καὶ βοᾷ· "ἐλθὲ δεῦρο, Ἄργε· ἐπάνελθε, ὦ κύον κατάρᾱτε." ἀλλ' ἔτι διώκει ὁ κύων. τρέχει οὖν ὁ Φίλιππος εἰς ἄκρον τὸ ὄρος ἀλλ' οὐχ ὁρᾷ τὸν κύνα. μέγα οὖν βοᾷ καὶ καλεῖ, ἀλλ' οὐκ ἀκούει ὁ Ἄργος. τέλος δ' ἀθῡμεῖ ὁ παῖς καὶ καταβαίνει τὸ ὄρος.

[**μετ(ὰ) αὐτούς**, *after them* **ἐπάνελθε**, *come back!* **κατάρᾱτε**, *cursed* **μέγα**, *loudly* **τέλος**, *finally* **ἀθῡμεῖ**, *despairs*]

ἐπεὶ δὲ προσχωρεῖ τῷ κήπῳ, ὁρᾷ αὐτὸν ὁ πάππος καί, "τί ποιεῖς, ὦ παῖ;" φησίν· "πόθεν ἥκεις καὶ ποῦ ἐστιν ὁ Ἄργος;" ὁ δὲ Φίλιππος, "ἀπὸ τοῦ αὐλίου ἥκω, ὦ πάππε· ὁ δ' Ἄργος ἐστί που ἐν τοῖς ὄρεσιν· λαγὼν γὰρ διώκει." ὁ δὲ πάππος, "ἴθι δή, ὦ παῖ· τί οὐ ζητεῖς αὐτόν; μὴ οὕτω ῥᾴθῡμος ἴσθι." ὁ δὲ Φίλιππος, "οὐ ῥᾴθῡμός εἰμι, ὦ πάππε, οὐδὲ αἴτιος ἐγώ. μέγα γὰρ βοῶ καὶ καλῶ, ἀλλ' οὐκ ἀκούει ὁ κύων." ὁ δὲ πάππος, "ἐλθὲ δεῦρο, ὦ παῖ," φησίν. οὕτω λέγει καὶ τὴν βακτηρίᾱν λαμβάνει καὶ σπεύδει ἅμα τῷ παιδὶ ἀνὰ τὴν ὁδόν.

[**πόθεν ἥκεις**, *from where have you come?* **που**, *somewhere* **τὴν βακτηρίᾱν**, *his stick* **ἅμα** + dat., *together with*]

## WORD STUDY

*Identify the Greek stems in the English words below and give the meanings of the English words:*

1. geology
2. geography
3. geometry (what was the original meaning of geometry?)
4. geocentric

## GRAMMAR

### 1. Contract Verbs in -α-

In the story at the beginning of this chapter you have seen two contract verbs, βοάω and ὁράω, with stems in -α- instead of in -ε-, as were the contract verbs presented in earlier chapters. Contract verbs in -α- show their endings as follows (we use the verb τῑμάω, *I honor*, as a model):

**Stem:** τῑμα-, *honor*

| | Indicative | | Imperative | | Infinitive |
|---|---|---|---|---|---|
| **Singular** | | | | | |
| **1st** | τῑμά-ω > | τῑμῶ | | | τῑμά-ειν > τῑμᾶν |
| **2nd** | τῑμά-εις > | τῑμᾷς | τί̄μα-ε > | τί̄μᾱ | |
| **3rd** | τῑμά-ει > | τῑμᾷ | | | |
| **Plural** | | | | | |
| **1st** | τῑμά-ομεν > | τῑμῶμεν | | | |
| **2nd** | τῑμά-ετε > | τῑμᾶτε | τῑμά-ετε > | τῑμᾶτε | |
| **3rd** | τῑμά-ουσι(ν) > | τῑμῶσι(ν) | | | |

The following rules for these contractions may be observed:

1. α + ω, ο, or ου > ω.
2. α + ει > ᾳ (the infinitive is an exception to this rule).
3. α + ε > ᾱ.

The third type of contract verbs, having stems in -ο-, like πληρόω, *I fill*, will be presented in Chapter 15. There are few verbs of this type.

### 2. Recessive Accent of Finite Verbs

While the accents of nouns and adjectives are *persistent* (see Chapter 2, Grammar 6, pages 20–21), the accents of finite forms of verbs (i.e., forms limited by person and number) are *recessive* (see Chapter 2, Grammar 7, page 21). This means that the accent of these forms recedes to



the third syllable from the end of the word if the final syllable is short, but only to the second syllable from the end of the word if the final syllable is long.

Thus, in the uncontracted form τῑμά-ω the accent cannot stand on the third syllable from the end because the final syllable is long; it therefore stands on the second syllable from the end. In the uncontracted form τῑμά-ομεν, however, the final syllable is short, and the accent recedes to the third syllable from the end. The uncontracted form of the singular imperative clearly shows how the rule operates; this is the only form on the chart in which the accent falls on the first syllable of the verb: τί̄μα-ε.

When forms contract (as they do in the Attic dialect), an acute accent over the first of the vowels to contract becomes a circumflex over the resulting contracted vowel, thus τῑμά-ω > τῑμῶ.

Study the charts of verbs in Chapter 4, Grammar 1, pages 38–39, and observe how these rules operate in the forms presented there, except in the enclitic forms of the verb *to be*, which by convention receive an acute on the final syllable in charts of forms.

### Exercise 5α

1. *Locate seven -α- contract verb forms in the reading passage at the beginning of this chapter.*
2. *Make two photocopies of the Verb Chart on page 282 and fill in the present indicative, imperative, and infinitive forms of βοάω and ὁράω. Keep these charts for reference.*

### Exercise 5β

*Read and translate the following forms, and then give the corresponding singular forms:*

1. τῑμᾶτε (2 ways)
2. φιλοῦσι(ν)
3. ὁρῶμεν
4. οἰκεῖτε (2 ways)
5. ποιοῦμεν
6. βοῶσι(ν)
7. ὁρᾶτε (2 ways)
8. πονοῦσι(ν)

### Exercise 5γ

*Read and translate the following forms, and then give the corresponding plural forms:*

1. τῑμᾷ
2. φιλεῖς
3. ζητῶ
4. ὁρῶ
5. βοᾷς
6. οἰκεῖ
7. φίλει
8. τί̄μᾱ

**Exercise 5δ**

*Copy the following Greek sentences and label the function of each noun and verb by writing S, C, DO, LV, TV, IV, IMP, or INF above the appropriate words (do not label other words). Then translate the pairs of sentences:*

1. ὁ κύων τὸν λαγὼν ὁρᾷ καὶ διώκει πρὸς ἄκρον τὸ ὄρος.
   Father shouts loudly (**μέγα**) and calls the slave out of the house.
2. ἆρ' ὁρᾶτε τὸν λαγών; τί οὐ λῦετε τὸν κύνα;
   What are you doing, friends? Why are you silent (*use* **σῑγάω**)?
3. οὕτω κωφός (*deaf*) ἐστιν ὁ ἀνὴρ ὥστε ἀεὶ μέγα βοῶμεν.
   The boy is so brave that we honor him greatly (**μέγα**).
4. ἐν νῷ ἔχομεν πρὸς τὸ ἄστυ (*the city*) βαδίζειν καὶ τοὺς χοροὺς ὁρᾶν.
   We wish to walk to the temple (**τὸ ἱερόν**) and honor the god (*use* **ὁ θεός**).
5. μὴ οὕτω ῥᾴθῡμος ἴσθι, ὦ παῖ· ἴθι πρὸς τὸ ὄρος καὶ ζήτει τὸν κύνα.
   Don't be so difficult, grandfather; for *I* am not to blame.

## 3. Article at the Beginning of a Clause

The article + δέ is often used at the beginning of a clause to indicate a change of subject; the article is translated as a pronoun, e.g.:

ὁ μὲν οὖν Ἄργος ὑλακτεῖ καὶ διώκει τὸν λαγών, **ὁ δὲ** φεύγει ἀνὰ τὸ ὄρος.
*And so Argus barks and pursues the hare, **but it** (i.e., the hare) flees up the hill.*

ὁ δεσπότης τὸν δοῦλον καλεῖ, **ὁ δὲ** οὐ πάρεστιν.
*The master calls the slave, **but he** is not present.*

ὁ πατὴρ τὴν κόρην καλεῖ, **ἡ δὲ** ταχέως προσχωρεῖ.
*The father calls the girl, **and she** approaches quickly.*

## 4. Elision

If a word ends in a short vowel, this vowel may be *elided* (cut off) when the following word starts with a vowel, e.g., διὰ ὀλίγου > δι' ὀλίγου. Note that the elision is marked by an apostrophe. Further examples;

ἆρα ἐθέλεις > ἆρ' ἐθέλεις
ἀλλὰ ἰδού > ἀλλ' ἰδού

If the following word begins with an aspirated vowel (i.e., a vowel with a rough breathing), the consonant left after elision is itself aspirated if possible, i.e., π becomes φ, and τ becomes θ. Thus:



ἀπὸ Ἑλλάδος (*from Greece*) > ἀφ' Ἑλλάδος
μετὰ ἡμῶν (*with us*) > μεθ' ἡμῶν
κατὰ ἡμέρᾱν (*by day = day by day, daily*) > καθ' ἡμέρᾱν
κατὰ ὅλου (*on the whole, in general*) > καθ' ὅλου or καθόλου, which gives English *catholic*, "comprehensive, universal."

Elision usually occurs when a compound verb is formed by prefixing a preposition that ends in a vowel to a verb that begins with a vowel, e.g.:

| | |
|---|---|
| ἀνα- + αἴρω > ἀναίρω | ἀπο- + ἐλαύνω > ἀπελαύνω |
| ἐπι- + αἴρω > ἐπαίρω | ἀπο- + αἱρέω > ἀφαιρέω |
| παρα- + εἰμί > πάρειμι | κατα- + ὁράω > καθοράω |

Exceptions: περι- and προ-, prefixes that you will meet later, do not elide, e.g., περι- + ὁράω > περιοράω, *I overlook, disregard*, and προ- + ἔρχομαι > προέρχομαι, *I go forward, advance.*

## Gods and Men

When Dicaeopolis was about to start plowing, he first made a prayer to Demeter, goddess of grain. When he is about to take his family to Athens to the festival of Dionysus, god of wine, he first goes to the altar in the courtyard



Life-size bronze statue of Zeus hurling a thunderbolt

of his house and pours a libation (drink offering) to Zeus, father of gods and men. Religion permeated Greek life; prayer and offerings were daily obligations. Hesiod, the eighth-century poet, says:

> Appease the immortal gods with libations and sacrifices, when you go to bed and when the holy light returns, so that they may have a kindly heart and spirit toward you, and you may buy other people's land and not have someone else buy yours. (*Works and Days,* 338–341)

The Greeks were polytheists (that is, they worshiped many gods), and their religion was an amalgam of many elements. For instance, when Greek speakers first entered Greece from the north about 2,000 B.C., they brought with them as their principal deity Zeus the Father (Ζεὺς πατήρ = Latin *Iuppiter*). The religion of the older inhabitants of Greece centered around a goddess, the Earth Mother, worshiped under various names, including Demeter. Eventually the various deities of different localities and different origins were united into the family of the twelve Olympian gods. They were called Olympian because they were thought to live on the top of the heavenly mountain Olympus, and each god had his (or her) special sphere of influence. Zeus was lord of the thunderbolt and father of gods and men; Hera was his wife and the patron goddess of women; Athena was his daughter and the goddess of wisdom and crafts; Apollo was the god of light, prophecy, and healing; Artemis, his sister, was a virgin huntress and goddess of the moon; Poseidon, Zeus' brother, was god of the sea; Aphrodite was goddess of love; Hermes was the messenger of the gods and bringer of good luck; Hephaestus was the god of fire and smiths; Ares was the god of war; Dionysus was the god of wine; and Demeter was the goddess of grain (for the Greek names, see page xix). Besides the great Olympians, there were many lesser gods, such as Pan and the nymphs, and many foreign gods whose worship was introduced to Greece at various times and who joined the pantheon.

There were in Greek religion no church, no dogma, and no professional full-time priests. Temples were built as the homes of the deity to which they were dedicated; no services were held inside, and the altar at which offerings were made stood in the open outside the temple. The gods were worshiped with prayer and offerings, both privately by the family and publicly by the deme and state at regular festivals recurring throughout the year. The usual offering in private worship was a libation of wine poured over the altar or a pinch of incense burnt in the altar fire. Public ritual culminated in animal sacrifice by the priest of the cult, often on a large scale, followed by a public banquet.

The gods were conceived in human form, and human characteristics were attributed to them. They were immortal, all powerful, and arbitrary. They were primarily interested not in the behavior of humans toward each other (morality) but in the maintenance of the honors due to themselves, and in this respect they were demanding and jealous. If you gave the gods the honors and offerings that were their due, you could expect them to repay you with their help and protection. At the beginning of Homer's *Iliad*, Chryses,



whose daughter the Greeks have captured and refuse to return for ransom, prays to Apollo:

> Hearken to me, God of the Silver Bow, protector of Chryse and holy Cilla, mighty ruler of Tenedus, Smintheus, if ever I have built a temple pleasing to you, if ever I have burned the rich thighs of a bull or a goat for you, fulfill now my prayers: may the Greeks pay for my tears through your arrows.

Chryses prays to Apollo by two of his cult titles (the meaning of the second, Smintheus, is not known for certain) and three of the centers of his worship (the gods were not omnipresent, and Apollo might be resident in any one of these places). Chryses reminds Apollo of past services and only then makes his request, that Apollo may punish the Greeks by striking them down with disease (Apollo's arrows brought sickness and death—since he was the god of healing, he was also the god who sent sickness). The prayer was answered, and the Greeks were struck by a plague.

Woman pouring a libation

## Greek Wisdom

See page 70

ἐγγύᾱ, πάρα δ' ἄτη. Χείλων (of Sparta)

# Ο ΛΥΚΟΣ (β)

ὁ Ἄργος ὁρμᾷ ἐπὶ τὸν λύκον.

## VOCABULARY

*Verbs*

**ἀποφεύγω**, *I flee away, escape*
**γιγνώσκω**, *I get to know, learn*
Cf. Latin *cognōscō* and English *know*
**ἥκω**, *I have come*
**θαυμάζω**, intransitive, *I am amazed;* transitive, *I wonder at; I admire*
**πάσχω**, *I suffer; I experience*
**τύπτω**, *I strike, hit*

*Noun*

**ὁ μῦθος**, *story*

*Pronouns*

**ἡμεῖς**, *we*
**ὑμεῖς**, pl., *you*

*Adjectives*

**ἀγαθός, -ή, -όν**, *good*
**ἄγριος, -ᾱ, -ον**, *savage; wild; fierce*
**πρῶτος, -η, -ον**, *first*

*Adjective or Pronoun*

**αὐτός, -ή, -ό**, intensive adjective, *-self, -selves;* adjective, *same;* pronoun in nom., gen., dat., and acc. cases, *him, her, it, them* (see Grammar 6 and Grammar 9)

*Prepositions*

**ἐπί** + dat., *upon, on;* + acc., *at; against*
**ὑπό** + dat., *under;* + acc., *under*

*Adverbs*

**ἐνταῦθα**, *then; here; hither; there; thither*
**ἐνταῦθα δή**, *at that very moment, then*
**νῦν**, *now*

*Conjunctions*

**καί . . . καί**, *both . . . and*
**ὅτι**, *that*

ἐπεὶ δὲ τῷ αὐλίῳ προσχωροῦσιν ὅ τε Φίλιππος καὶ ὁ πάππος, πολὺν ψόφον ἀκούουσιν· ὑλακτεῖ γὰρ ἀγρίως ὁ Ἄργος, τὰ δὲ πρόβατα πολὺν θόρυβον ποιεῖ. σπεύδουσιν οὖν· βούλονται γὰρ



γιγνώσκειν τί πάσχει τὰ πρόβατα. πρῶτος οὖν πάρεστιν ὁ παῖς, καὶ ἰδού, ὁ μὲν Ἄργος μένει πρὸς τῇ ὁδῷ καὶ ἀγρίως ὑλακτεῖ, καταβαίνει δὲ ἐκ τοῦ ὄρους πρὸς τὸ αὔλιον λύκος μέγας. ὁ μὲν οὖν Φίλιππος μέγα βοᾷ καὶ λίθους λαμβάνει καὶ βάλλει τὸν λύκον· ὁ δὲ Ἄργος ὁρμᾷ ἐπ' αὐτὸν καὶ οὕτως ἀγρίως ἐμπίπτει ὥστε ἀναστρέφει ὁ λύκος καὶ ἀποφεύγει. διώκει μὲν οὖν ὁ κύων, ὁ δὲ Φίλιππος σπεύδει μετ' αὐτόν.

[**ψόφον**, *noise* **θόρυβον**, *uproar* **βούλονται**, *they want* **βάλλει**, *pelts* **ὁρμᾷ**, *rushes* **ἐμπίπτει** (ἐν- + πίπτει), *falls upon, attacks* **ἀναστρέφει**, *turns back* **μετ(ὰ) αὐτόν**, *after him*]

ὁ δὲ πάππος ἤδη εἰς ἄκρον τὸ ὄρος ἥκει καὶ τὸν λύκον ὁρᾷ καὶ βοᾷ, "ἐλθὲ δεῦρο, Φίλιππε· μὴ δίωκε ἀλλ' ἐπάνελθε." νῦν δὲ ὁ Ἄργος τὸν λύκον ὀδὰξ λαμβάνει καὶ κατέχει, ὁ δὲ Φίλιππος αὐτὸς ἤδη πάρεστι καὶ τὴν μάχαιραν λαμβάνει καὶ τύπτει τὸν λύκον. ὁ δὲ ἀσπαίρει καὶ καταπίπτει πρὸς τὴν γῆν.

[**ὀδὰξ**, *with his teeth* **κατέχει**, *holds* (it) *fast* **τὴν μάχαιραν**, *his knife* **ἀσπαίρει**, *struggles*]

ἐνταῦθα δὴ προσχωρεῖ ὁ πάππος καὶ τὸν λύκον ὁρᾷ ἐπὶ τῇ γῇ κείμενον. θαυμάζει οὖν καί, "εὖ γε, ὦ παῖ," φησίν· "μάλα ἀνδρεῖος εἶ. μέγας γάρ ἐστιν ὁ λύκος καὶ ἄγριος. σὺ δέ, ὦ Ἄργε, ἀγαθὸς εἶ κύων· εὖ γὰρ τὰ πρόβατα φυλάττεις. νῦν δέ, ὦ Φίλιππε, οἴκαδε σπεῦδε· ἡ γὰρ μήτηρ δήπου ἐθέλει γιγνώσκειν ποῦ εἶ καὶ τί πάσχεις."

[**κείμενον**, *lying* **εὖ γε**, *well done!* **εὖ**, *well* **δήπου**, *I suppose*]

ἐπεὶ δὲ τῇ οἰκίᾳ προσχωροῦσιν, τὴν μητέρα ὁρῶσιν. ὁ μὲν οὖν πάππος σπεύδει πρὸς αὐτὴν καὶ πάντα λέγει. ἡ δέ, "ἆρα τὰ ἀληθῆ λέγεις;" φησίν. "εὖ γε, ὦ παῖ· μάλα ἀνδρεῖος εἶ. ἀλλ' ἰδού—προσχωρεῖ ἡ Μέλιττα ἀπὸ τῆς κρήνης. ἐλθὲ δεῦρο, ὦ Μέλιττα, καὶ ἄκουε· ὁ γὰρ Φίλιππος λύκον ἀπέκτονεν." ὁ μὲν οὖν πάππος πάντα αὖθις λέγει, ἡ δὲ Μέλιττα μάλα θαυμάζει καὶ λέγει ὅτι καὶ ὁ Ἄργος καὶ ὁ Φίλιππος μάλα ἀνδρεῖοί εἰσι καὶ ἰσχυροί.

[**πάντα**, *all things, everything* **τὰ ἀληθῆ**, *the true things, the truth* **ἀπέκτονεν**, *has killed*]

ἔπειτα δὲ ἡ μήτηρ, "νῦν δὲ ἐλθὲ δεῦρο, ὦ φίλε," φησίν, "καὶ κάθιζε μεθ' ἡμῶν ὑπὸ τῷ δένδρῳ· μάλα γὰρ κάμνεις. σὺ δέ, ὦ Μέλιττα, κάθιζε καὶ σύ. ἀκούετε οὖν· ἐγὼ γὰρ μέλλω καλὸν μῦθον ὑμῖν λέγειν."

[**μεθ' ἡμῶν**, *with us* **κάμνεις**, *you are tired* **μέλλω** + infin., *I am about* (to) **ὑμῖν**, *to you*]

ὁ μὲν οὖν πάππος καθεύδει—μάλα γὰρ κάμνει—οἱ δὲ παῖδες καθίζουσιν ὑπὸ τῷ δένδρῳ καὶ ἀκούουσιν· ἐπιθῡμοῦσι γὰρ ἀκούειν τὸν μῦθον.

[**ἐπιθῡμοῦσι**, *they desire*]

## WORD BUILDING

*From your knowledge of the verbs at the left, deduce the meaning of the nouns at the right:*

1. βοάω — ἡ βοή
2. τῑμάω — ἡ τῑμή
3. ὁρμάω (*I rush*) — ἡ ὁρμή
4. νῑκάω (*I defeat; win*) — ἡ νῖκη
5. τελευτάω (*I end; die*) — ἡ τελευτή

## GRAMMAR

### 5. Agreement of Subject and Verb

Note that in Greek neuter plural subjects take singular verbs, e.g.:

τὰ πρόβατα πολὺν θόρυβον **ποιεῖ**.
τὰ ἅροτρα μῑκρά **ἐστιν**.

Translate the examples above.

### 6. Personal Pronouns

In previous chapters you have met the nominative singular personal pronouns ἐγώ, *I*, and σύ, *you*, and you have met the accusative singular pronouns αὐτόν, *him* or *it*, αὐτήν, *her* or *it*, and αὐτό, *it*. Personal pronouns in the genitive and dative cases (ἡμῶν and ὑμῖν) appear in the next to the last paragraph of the reading passage above (locate five personal pronouns in that paragraph).



The full declensions of the personal pronouns are given below:

| | 1st Person Singular | | | 1st Person Plural | |
|---|---|---|---|---|---|
| **Nom.** | ἐγώ | | *I* | ἡμεῖς | *we* |
| **Gen.** | ἐμοῦ | μου | *of me* | ἡμῶν | *of us* |
| **Dat.** | ἐμοί | μοι | *to* or *for me* | ἡμῖν | *to* or *for us* |
| **Acc.** | ἐμέ | με | *me* | ἡμᾶς | *us* |

| | 2nd Person Singular | | | 2nd Person Plural | |
|---|---|---|---|---|---|
| **Nom.** | σύ | | *you* | ὑμεῖς | *you* |
| **Gen.** | σοῦ | σου | *of you* | ὑμῶν | *of you* |
| **Dat.** | σοί | σοι | *to* or *for you* | ὑμῖν | *to* or *for you* |
| **Acc.** | σέ | σε | *you* | ὑμᾶς | *you* |

Note: the accented forms ἐμοῦ, ἐμοί, ἐμέ and σοῦ, σοί, σέ are emphatic and are used at the beginning of clauses and in expressing contrasts, e.g.:

**ἐμὲ** οὐ **σὲ** ἡ Μέλιττα φιλεῖ. *Melissa loves **me** not **you**.*

These forms are usually used after prepositions, e.g.:

ὁ λύκος ὁρμᾷ ἐπ' **ἐμέ**. *The wolf rushes at **me**.*

The unaccented forms are unemphatic and enclitic.

#### 3rd Person

The following forms are used as genitive, dative, and accusative 3rd person pronouns:

| | Masculine | | Feminine | | Neuter | |
|---|---|---|---|---|---|---|
| **Singular** | | | | | | |
| **Gen.** | αὐτοῦ | *of him* or *it* | αὐτῆς | *of her* or *it* | αὐτοῦ | *of it* |
| **Dat.** | αὐτῷ | *to* or *for him* or *it* | αὐτῇ | *to* or *for her* or *it* | αὐτῷ | *to it* |
| **Acc.** | αὐτόν | *him* or *it* | αὐτήν | *her* or *it* | αὐτό | *it* |
| **Plural** | | | | | | |
| **Gen.** | αὐτῶν | *of them* | αὐτῶν | *of them* | αὐτῶν | *of them* |
| **Dat.** | αὐτοῖς | *to* or *for them* | αὐταῖς | *to* or *for them* | αὐτοῖς | *to* or *for them* |
| **Acc.** | αὐτούς | *them* | αὐτάς | *them* | αὐτά | *them* |

Note that these words can refer to either persons or things. When they refer to things, the gender of the pronoun depends on the gender of the noun to which it refers, e.g.: ὁ Ξανθίᾱς αἴρει τὸν λίθον. αἴρει **αὐτόν** (*He **lifts it***). The word αὐτόν is translated *it*, but it is masculine because it refers to the masculine noun λίθον. Translate the following examples:

ὁρῶ τὴν οἰκίᾱν. ὁρᾷς **αὐτήν**; φέρω τὸ ἅροτρον. σὺ **αὐτὸ** οὐ φέρεις.

### Exercise 5ε

*Look back through story α in Chapter 3 and story β in Chapter 5 and locate at least eight examples of personal pronouns and forms of αὐτός in each story.*

## 7. Attributive and Predicate Position

### *a. Attributive Position*

Note the position of the adjective in the following phrases:

ἡ καλὴ οἰκίᾱ ἡ οἰκίᾱ ἡ καλή

Both phrases mean *the beautiful house*. The adjective is said to be in the *attributive* position in these examples, in which it is placed either between the article and the noun or after the repeated article.

### *b. Predicate Position*

In the following examples the adjective stands outside the article-noun group. The following examples constitute complete sentences (note that the verb "to be" may be omitted in simple sentences of this sort), and the adjective is said to be in the *predicate* position. Both sentences mean *The house is beautiful.*

καλὴ ἡ οἰκίᾱ. ἡ οἰκίᾱ καλή.

## 8. Possessives

The following possessive adjectives correspond to the personal pronouns above:

| **1st Person Singular** | **1st Person Plural** |
|---|---|
| ἐμός, -ή, -όν *my, mine* | ἡμέτερος, -ᾱ, -ον *our, ours* |
| **2nd Person Singular** | **2nd Person Plural** |
| σός, -ή, -όν *your, yours* | ὑμέτερος, -ᾱ, -ον *your, yours* |

Here are some examples:

ὁ μὲν **ἐμὸς** κύων τὸν λύκον διώκει, ὁ δὲ κύων ὁ **σὸς** πρὸς τῇ ὁδῷ καθίζει.
***My** dog is pursuing the wolf, but **your** dog is sitting by the road.*

ὁ μὲν **ἡμέτερος** πατὴρ πονεῖ ἐν τῷ ἀγρῷ, ὁ δὲ **ὑμέτερος** ἀργός ἐστιν.
***Our** father works in the field, but **your** (father) is lazy.*

ὁ κύων **ἐμός** ἐστιν, οὐ **σός**.
*The dog is **mine**, not **yours**.*

In the first two examples the possessive adjectives occupy the attributive position, while in the third they occupy the predicate position.



There is no possessive adjective for the 3rd person, but instead the genitive of αὐτός is used:

| | | |
|---|---|---|
| **Masculine** | αὐτοῦ | *of him, his; of it, its* |
| **Feminine** | αὐτῆς | *of her, her; of it, its* |
| **Neuter** | αὐτοῦ | *of it, its* |
| **M., F., N. (Plural)** | αὐτῶν | *of them, their* |

These possessive genitives occupy the predicate position, i.e., they stand outside the article-noun group to which they belong, and they refer to someone other than the subject of the verb (they are not reflexive), e.g.:

ὁ πάππος πρὸς τὸν παῖδα τρέχει, ὁ δὲ τὴν μάχαιραν **αὐτοῦ** λαμβάνει.
*Grandfather runs to the boy, and he (the boy) takes **his** (the grandfather's) knife.*

ἡ κόρη μάλα κάμνει· ἡ οὖν μήτηρ τὴν ὑδρίᾱν **αὐτῆς** φέρει.
*The girl is very tired; and so her mother carries **her** (i.e., the girl's) water jar.*

οἱ μὲν παῖδες ἐν τῷ ἀγρῷ μένουσιν, οἱ δὲ πατέρες τοὺς κύνας **αὐτῶν** οἴκαδε ἄγουσιν.
*The boys stay in the field, but the fathers lead **their** (i.e., the boys') dogs home.*

The genitives of the personal pronouns (see above, Grammar 6, page 65), used to indicate possession, also occupy the predicate position, e.g.:

"σὺ εἶ ὁ υἱός **μου** ὁ ἀγαπητός." (Luke 3.22; see page 23)

Note that Greek frequently does not use possessives if the possessor is the same as the subject of the verb, e.g.:

ὁ Φίλιππος τὴν μάχαιραν λαμβάνει καὶ τύπτει τὸν λύκον.
*Philip takes **his** knife and strikes the wolf.*

### Exercise 5ζ

*Read aloud and translate:*

1. ἐλθὲ δεῦρο, ὦ παῖ· ὁ γὰρ ἡμέτερος δεσπότης ἡμᾶς καλεῖ.
2. τί ποιεῖτε, ὦ δοῦλοι; ἐγὼ μὲν γὰρ ὑμᾶς καλῶ, ὑμεῖς δὲ οὐκ ἀκούετε.
3. ἆρ' οὐκ ἀκούετέ μου; φέρετέ μοι τὸ ἄροτρον.
4. ἀλλ', ὦ δέσποτα, νῦν φέρομεν αὐτό σοι.
5. ἡμῖν προσχώρει, ὦ παῖ, καὶ λέγε μοι τί πάσχεις.
6. τὸν ἐμὸν κύνα ζητῶ, ὦ πάτερ· ὁ δὲ φεύγει ἀνὰ τὴν ὁδὸν καὶ οὐκ ἐθέλει ἐπανιέναι (*to come back*).

7. θάρρει (*cheer up*), ὦ παῖ· ἐγὼ γὰρ ἀκούω αὐτοῦ ὑλακτοῦντος (*barking*). ζήτει οὖν αὐτόν.
8. ὁρῶ αὐτὸν ἐπὶ ἄκρῳ τῷ ὄρει μένοντα (*waiting*)· ἰδού, νῦν τρέχει πρὸς ἡμᾶς.
9. ἄγριος μὲν ὁ λύκος καὶ μέγας, ὁ δὲ παῖς τὴν μάχαιραν λαμβάνει καὶ τύπτει αὐτόν.
10. ὁ μὲν πάππος ἤδη πάρεστιν, ὁ δὲ Φίλιππος τὴν μάχαιραν αὐτοῦ λαμβάνει καὶ ἀποκτείνει (*kills*) τὸν λύκον.

## 9. The Adjective αὐτός, -ή, -ό

The same word that is used in the genitive, dative, and accusative cases as the 3rd person pronoun (see above, Grammar 6) may be used in any case as an *intensive adjective*, meaning *-self* or *-selves*, e.g.:

μάλα ἀνδρεῖοί ἐστε **αὐτοί**. *You **yourselves** are very brave.*

Here are all of its forms:

| | Masculine | Feminine | Neuter |
|---|---|---|---|
| **Singular** | | | |
| **Nom.** | αὐτός | αὐτή | αὐτό |
| **Gen.** | αὐτοῦ | αὐτῆς | αὐτοῦ |
| **Dat.** | αὐτῷ | αὐτῇ | αὐτῷ |
| **Acc.** | αὐτόν | αὐτήν | αὐτό |
| **Plural** | | | |
| **Nom.** | αὐτοί | αὐταί | αὐτά |
| **Gen.** | αὐτῶν | αὐτῶν | αὐτῶν |
| **Dat.** | αὐτοῖς | αὐταῖς | αὐτοῖς |
| **Acc.** | αὐτούς | αὐτάς | αὐτά |

There is no vocative.

This adjective may be used to intensify or emphasize the implied subject of a verb or to intensify or emphasize a noun, e.g.:

ὁ δοῦλος πάρεστιν· **αὐτὸς** αἴρει τὸν λίθον.
*The slave is present; he **himself** lifts the stone.*

ὁ πάππος τὸν λύκον **αὐτὸν** ὁρᾷ.
ὁ πάππος **αὐτὸν** τὸν λύκον ὁρᾷ.
*The grandfather sees the wolf **itself**.*



αἱ μὲν κόραι τὰς ὑδρίας πληροῦσιν, αἱ δὲ γυναῖκες **αὐταὶ** οὔ.
αἱ μὲν κόραι τὰς ὑδρίας πληροῦσιν, **αὐταὶ** δὲ αἱ γυναῖκες οὔ.
*The girls fill their water jars, but the women **themselves** do not.*

When used to intensify a noun, this adjective occupies the *predicate* position, as in the second and third examples above.

This same adjective when placed in the *attributive* position means *same*, e.g.:

| | |
|---|---|
| τὸν **αὐτὸν** λύκον | *the **same** wolf* |
| αἱ **αὐταὶ** γυναῖκες | *the **same** women* |

δὶς ἐς τὸν **αὐτὸν** ποταμὸν οὐκ ἂν ἐμβαίης.
*You couldn't step into the **same** river twice.* —Heraclitus

### Exercise 5η

*Read aloud and translate:*

1. αὐτὸς ὁ πάππος ἡμᾶς κελεύει (*orders*) σπεύδειν πρὸς τὸ αὔλιον· ὁ γὰρ αὐτὸς λύκος καταβαίνει ἀπὸ τοῦ ὄρους.
2. τὸν κύνα αὐτοῦ καλεῖτε· ἀνδρεῖος γάρ ἐστι καὶ τὰ πρόβατα εὖ φυλάττει.
3. σπεύδετε, ὦ παῖδες· τὰ γὰρ πρόβατα αὐτὸν τὸν λύκον ὁρᾷ καὶ πολὺν θόρυβον ποιεῖ.
4. ὁ κύων οὐ διώκει τὸν λύκον ἀλλὰ αὐτὸς ἀποφεύγει· ἄγριος γάρ ἐστιν ὁ λύκος καὶ μέγας.
5. νῦν δὲ ὁ αὐτὸς κύων τὸν λύκον διώκει· ὁ δὲ ἀποφεύγει πρὸς τὸ ὄρος.

# Ο ΑΡΓΟΣ ΤΑ ΠΡΟΒΑΤΑ ΣΩΙΖΕΙ

*Read the following passages and answer the comprehension questions:*

ὅ τε Φίλιππος καὶ ὁ πατὴρ βραδέως βαδίζουσιν ἀνὰ τὴν ὁδόν· ζητοῦσι γὰρ τὰ πρόβατα. ἐπεὶ δὲ εἰς ἄκρον τὸ ὄρος ἥκουσιν, τὰ πρόβατα ὁρῶσιν· μένει γὰρ τὰ πρόβατα πρὸς τῇ ὁδῷ καὶ πολὺν θόρυβον ποιεῖ. ὁ οὖν Δικαιόπολις, "τί πάσχει τὰ πρόβατα;" φησίν· "σπεῦδε κατὰ τὴν ὁδόν, ὦ παῖ, καὶ γίγνωσκε τί τοσοῦτον θόρυβον ποιεῖ." ὁ οὖν Φίλιππος αὐτὸς σπεύδει κατὰ τὴν ὁδόν. ἐπεὶ δὲ τοῖς προβάτοις προσχωρεῖ, μέγαν λύκον ὁρᾷ· τὸν οὖν πατέρα καλεῖ καὶ βοᾷ· "ἐλθὲ δεῦρο, ὦ πάτερ, καὶ βοήθει· μέγας γὰρ λύκος πάρεστι καὶ μέλλει τοῖς προβάτοις ἐμπίπτειν." 5

[**βοήθει**, *come to the rescue! come to (my) aid!*]

1. What are Philip and his father seeking?
2. When do they see the flocks? What are the flocks doing?
3. What does Philip see when he approaches the flocks?
4. What does he urge his father to do?

ὁ οὖν Δικαιόπολις τὸν κύνα λῦει καί, "ἴθι δή, Ἄργε," φησίν· "τὸν λύκον δίωκε· σὺ δέ, ὦ παῖ, μένε ἐνταῦθα." ὁ μὲν οὖν Φίλιππος μένει πρὸς τῇ ὁδῷ, ὁ δὲ Ἄργος ὑλακτεῖ καὶ οὕτως ἀγρίως ὁρμᾷ ἐπὶ τὸν λύκον ὥστε ὁ λύκος ἀποφεύγει. ὁ δὲ Φίλιππος καὶ ὁ πατὴρ τρέχουσι μετ' αὐτοὺς καὶ βοῶσι καὶ λίθους βάλλουσιν. ἐνταῦθα δὴ τὸν κύνα καλοῦσι καὶ τὰ πρόβατα οἴκαδε ἐλαύνουσιν.

[**βάλλουσιν**, *throw*]

5. What does Dicaeopolis do?
6. Does Philip obey his father?
7. What does Argus do? With what result?
8. What do Philip and his father do at the end of the story?

## Exercise 5θ

*Translate into Greek:*

1. We no longer see many wolves in the hills, and they rarely (**σπανίως**) come down (*use* **καταβαίνω**) into the fields.
2. So we are amazed that Philip has killed (**ἀπέκτονε(ν)**) a wolf.
3. The same boy guards the flocks well (**εὖ**), but he does not always speak (say) the truth (**τὰ ἀληθῆ**).
4. So we ourselves intend to hurry to the hill and look for the body (*use* **ὁ νεκρός**).

## Greek Wisdom

The Seven Wise Men

The Greeks recognized seven "wise men" or "sages" (σοφοί), who lived in the early decades of the sixth century B.C. To each was attached a piece of proverbial wisdom, which is quoted on the page of this book to which reference is made opposite each name in the following list (the names are given in the order in which they were listed in antiquity):


| | |
|---|---|
| Θαλῆς (of Miletus) | page 111 |
| Σόλων (of Athens) | page 230 |
| Περίανδρος (of Corinth) | page 127 |
| Κλεόβουλος (of Lindos) | page 16 |
| Χείλων (of Sparta) | page 61 |
| Βίας (of Priene) | page 211 |
| Πιττακός (of Mitylene) | page 45 |




## Classical Greek

Anacreon

Anacreon of Teos (fl. 535 B.C.) was a lyric poet, whose work included many love poems. Long after his death, a collection of poems was published that were written in his style and called *Anacreontea*, including the following (no. 34), written to a cicada (τέττιξ), a type of Mediterranean grasshopper.

μακαρίζομέν σε, τέττιξ.
ὅτε δενδρέων ἐπ' ἄκρων
ὀλίγην δρόσον πεπωκὼς
βασιλεὺς ὅπως ἀείδεις.
σὰ γάρ ἐστι κεῖνα πάντα,
ὁπόσα βλέπεις ἐν ἀγροῖς
χὠπόσα φέρουσιν ὕλαι.

[**μακαρίζομεν**, *we regard* X *as blessed* **ὅτε**, *when* **δενδρέων** = δένδρων **ἐπ(ὶ)** + gen., *on* **ὀλίγην δρόσον**, *a little dew* **πεπωκὼς**, *after drinking* **βασιλεὺς ὅπως**, *like a king* **ἀείδεις**, *you sing* **κεῖνα πάντα**, / **ὁπόσα**, *all those things, as many as* **χὠπόσα** = καὶ ὁπόσα, *and as many as* **ὕλαι**, *the woods*]

## New Testament Greek

Luke 4.22 and 24

When Jesus went to his home village of Nazareth and taught in the synagogue, the people were amazed and said:

"οὐχὶ υἱός ἐστιν Ἰωσὴφ οὗτος;"

[**οὐχὶ**, emphatic οὐ **υἱός**, *son* **Ἰωσήφ**, *of Joseph* **οὗτος**, *this man*, subject of the sentence]

They told him to perform a miracle in his home village, but he said:

"ἀμὴν λέγω ὑμῖν ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ."

[**ἀμὴν**, *in truth* **οὐδεὶς**, *no* **προφήτης**, *prophet* **δεκτός**, *acceptable* **τῇ πατρίδι αὐτοῦ**, *his own country*]

# 6
# Ο ΜΥΘΟΣ (α)

ὅ τε Θησεὺς καὶ οἱ ἑταῖροι ἀφικνοῦνται εἰς τὴν Κρήτην.

## VOCABULARY

*Verbs*

**ἀποκτείνω**, *I kill*
**ἀφικνέομαι** [= ἀπο- + ἱκνέομαι], *I arrive*; + εἰς + acc., *I arrive at*
**βασιλεύω**, *I rule*
**βοηθέω**, *I come to the rescue*; + dat., *I come to* X's *aid*; *I come to rescue / aid* X
**βούλομαι** + infin., *I want*; *I wish*
**γίγνομαι**, *I become*
**γίγνεται**, *he / she / it becomes*; *it happens*
**δέχομαι**, *I receive*
**ἐκφεύγω**, *I flee out, escape*
**ἔρχομαι**, *I come*; *I go*
**ἀπέρχομαι** [= ἀπο- + ἔρχομαι], *I go away*
**πείθομαι** + dat., *I obey*
**πέμπω**, *I send*
**πλέω**, *I sail*
**σῴζω**, *I save*
**φοβέομαι**, intransitive, *I am frightened, am afraid*; transitive, *I fear, am afraid of* (something or someone)

*Nouns*

**ὁ βασιλεύς**, *king*
**ὁ ἑταῖρος**, *comrade, companion*
**ἡ ἡμέρᾱ**, *day*
**ἡ ναῦς** (τῆς νεώς, τῇ νηΐ, τὴν ναῦν), *ship*
**ἡ νῆσος**, *island*
**ἡ νύξ**, *night*
**ὁ πάππας** (ὦ πάππα), *papa*
Cf. **ὁ πάππος**, *grandfather*
**ἡ παρθένος**, *maiden*; *girl*

*Adjective*

**δεινός, -ή, -όν**, *terrible*

*Preposition*

**μετά** + gen., *with*; + acc., *after*

*Adverb*

**ἐκεῖ**, *there*

*Proper Names*

**αἱ Ἀθῆναι**, *Athens*
**ὁ Αἰγεύς**, *Aegeus* (king of Athens)





**ἡ Ἀριάδνη**, *Ariadne* (daughter of King Minos)
**ὁ Θησεύς** (τὸν Θησέᾱ, ὦ Θησεῦ), *Theseus* (son of King Aegeus)
**ἡ Κνωσός**, *Knossos*
**ἡ Κρήτη**, *Crete*
**ὁ Μίνως** (τοῦ Μίνω), *Minos* (king of Crete)
**ὁ Μινώταυρος**, *Minotaur*

"ὁ Μίνως οἰκεῖ ἐν τῇ Κρήτῃ· βασιλεὺς δέ ἐστι τῆς νήσου. καὶ ἐν τῇ τοῦ Μίνω οἰκίᾳ ἐστὶν ὁ λαβύρινθος· ἐκεῖ δ' οἰκεῖ ὁ Μινώταυρος, θηρίον τι δεινόν, τὸ μὲν ἥμισυ ἄνθρωπος, τὸ δ' ἥμισυ ταῦρος. ὁ δὲ Μινώταυρος ἐσθίει ἀνθρώπους. ὁ οὖν Μίνως ἀναγκάζει τοὺς Ἀθηναίους ἑπτά τε νεᾱνίᾱς πέμπειν καὶ ἑπτὰ παρθένους κατ' ἔτος πρὸς τὴν Κρήτην καὶ παρέχει αὐτοὺς τῷ Μινωταύρῳ ἐσθίειν.

[**ὁ λαβύρινθος**, *the labyrinth* **θηρίον τι**, *a certain beast* **τὸ . . . ἥμισυ**, *half* **ταῦρος**, *bull* **ἐσθίει**, *eats* **ἀναγκάζει**, *compels* **ἑπτά**, *seven* **νεᾱνίᾱς**, *youths* **κατ' ἔτος**, *each year* **παρέχει**, *hands over, provides* **τῷ Μινωταύρῳ**, *to the Minotaur*]

"ἐν δὲ ταῖς Ἀθήναις βασιλεύει ὁ Αἰγεύς· ἔστι δὲ αὐτῷ παῖς τις ὀνόματι Θησεύς. ὁ δὲ ἐπεὶ πρῶτον ἡβᾷ, τοὺς ἑταίρους οἰκτίρει καὶ βούλεται βοηθεῖν αὐτοῖς. προσχωρεῖ οὖν τῷ πατρὶ καί, 'ὦ πάππα φίλε,' φησίν, 'τοὺς ἑταίρους οἰκτίρω καὶ βούλομαι σῴζειν. πέμπε με οὖν μετὰ τῶν ἑταίρων πρὸς τὴν Κρήτην.' ὁ δ' Αἰγεὺς μάλα φοβεῖται ἀλλ' ὅμως πείθεται αὐτῷ.

[**ἔστι . . . αὐτῷ**, *there is for him, he has* **παῖς τις**, *a child* **ὀνόματι**, *by name* **ἡβᾷ**, *grows up* **οἰκτίρει**, *pities* **ὅμως**, *nevertheless*]

"ὁ οὖν Θησεὺς εἰς ναῦν εἰσβαίνει μετὰ τῶν ἑταίρων καὶ πλεῖ πρὸς τὴν Κρήτην. ἐπεὶ δὲ εἰς τὴν νῆσον ἀφικνοῦνται, ὅ τε βασιλεὺς αὐτὸς καὶ ἡ βασίλεια καὶ ἡ θυγάτηρ αὐτῶν, ὀνόματι Ἀριάδνη, δέχονται αὐτοὺς καὶ ἄγουσι πρὸς τὴν Κνωσόν (οὕτω γὰρ τὴν τοῦ Μίνω πόλιν ὀνομάζουσιν) καὶ φυλάττουσιν ἐν τῷ δεσμωτηρίῳ.

[**ἡ βασίλεια**, *the queen* **τὴν . . . πόλιν**, *the city* **ὀνομάζουσιν**, *they call* **τῷ δεσμωτηρίῳ**, *the prison*]

"ἡ δ' Ἀριάδνη, ἐπεὶ πρῶτον ὁρᾷ τὸν Θησέᾱ, ἐρᾷ αὐτοῦ καὶ βούλεται σῴζειν. ἐπεὶ οὖν νὺξ γίγνεται, σπεύδει πρὸς τὸ δεσμωτήριον καὶ τὸν Θησέᾱ καλεῖ καί, 'σῑγᾱ, ὦ Θησεῦ,' φησίν· 'ἐγώ, Ἀριάδνη, πάρειμι. ἐρῶ σοῦ καὶ βούλομαι σῴζειν. ἰδού, παρέχω γάρ σοι τοῦτο

τὸ ξίφος καὶ τοῦτο τὸ λίνον. μὴ οὖν φοβοῦ ἀλλὰ ἀνδρείως εἴσβαινε εἰς τὸν λαβύρινθον καὶ ἀπόκτεινε τὸν Μῑνώταυρον. ἔπειτα δὲ ἔκφευγε μετὰ τῶν ἑταίρων καὶ σπεῦδε πρὸς τὴν ναῦν. ἐγὼ γὰρ ἐν νῷ ἔχω πρὸς τῇ νήϊ μένειν· βούλομαι γὰρ ἀπὸ τῆς Κρήτης ἀποφεύγειν καὶ μετὰ σοῦ πρὸς τὰς 'Αθήνᾱς πλεῖν.' οὕτω λέγει καὶ ταχέως ἀπέρχεται πρὸς τὴν πόλιν. ὁ δὲ Θησεὺς μάλα μὲν θαυμάζει, δέχεται δὲ τὸ ξίφος καὶ μένει τὴν ἡμέρᾱν."

[**ἐρᾷ αὐτοῦ**, *loves him* **σῑγᾶ**, *be quiet!* **τοῦτο τὸ ξίφος**, *this sword* **τοῦτο τὸ λίνον**, *this thread* **μὴ . . . φοβοῦ**, *don't be afraid!*]

## WORD STUDY

*Identify the Greek stems in the English words below and give the meanings of the English words:*

1. phobia
2. acrophobia
3. agoraphobia
4. entomophobia
5. triskaidekaphobia
6. Anglophobia

## GRAMMAR

### 1. Verb Forms: πλέω

In the two-syllable contract verb πλέω, ε does not contract with o or ω, thus:

**Stem:** πλε-, *sail*

| | **Indicative** | | **Imperative** | **Infinitive** |
|---|---|---|---|---|
| **Singular** | | | | |
| **1st** | πλέ-ω > | πλέω | | πλέ-ειν > πλεῖν |
| **2nd** | πλέ-εις > | πλεῖς | πλέ-ε > πλεῖ | |
| **3rd** | πλέ-ει > | πλεῖ | | |
| **Plural** | | | | |
| **1st** | πλέ-ομεν > | πλέομεν | | |
| **2nd** | πλέ-ετε > | πλεῖτε | πλέ-ετε > πλεῖτε | |
| **3rd** | πλέ-ουσι(ν) > | πλέουσι(ν) | | |



### 2. Verbs: Voice

#### a. *Active Voice*

You have met many verbs that are *active* in voice and take direct objects, e.g.:

ὁ Μῑνώταυρος **ἐσθίει** ἀνθρώπους.
*The Minotaur **eats** men.*

#### b. *Passive Voice*

Sentences of this sort can be turned around so that the direct object becomes the subject, e.g.:

*Men **are eaten** by the Minotaur.*

The verb is now said to be *passive* in voice, and the subject of the sentence is acted on rather than being the actor. The passive voice of Greek verbs will be presented later in this course.

#### c. *Middle Voice*

In Greek, verbs may be in a third voice termed *middle*. The middle voice is often reflexive, denoting that the subject acts *on* or *for* itself, e.g.:

Active: ὁ παῖς τὸν κύνα **λούει**.
*The boy **washes** the dog.*

Middle: ὁ παῖς **λούεται**.
*The boy **washes himself*** or *The boy **washes**.*

In this case the subject is thought of as acting *on* itself, and the verb in the middle voice implies a reflexive direct object in the accusative case, *himself*. The middle voice verb here can also be translated as *intransitive*, with no direct object, simply, *The boy **washes***.

Here is another set of similar examples:

Active: ἡ Μυρρίνη τὸν ἄνδρα **ἐγείρει**.
*Myrrhine **wakes up** her husband.*

Middle: ὁ Δικαιόπολις **ἐγείρεται**.
*Dicaeopolis **wakes himself up/wakes up**.*

In the above examples, the middle voice verbs are *reflexive with accusative sense.*

Verbs in the middle voice, however, may also be *transitive* and take direct objects:

Active: ὁ παῖς τὸ ἄροτρον **φέρει**.
*The boy **carries** the plow.*

Middle: ὁ παῖς τὸ ἆθλον **φέρεται**.
*The boy **carries off** the prize **for himself**.*
*The boy **wins** the prize.*

Here the subject is thought of as acting *for itself, in its own interests, to its own advantage,* and the verb, which takes a direct object, is reflexive with an implied dative of reference, *for himself.*

In the above example, the middle voice verb is *reflexive with dative sense.*

Verbs in the middle voice may occasionally have a *causative sense*. Here the subject of the verb causes someone else to do something. Compare the following sentences:

Active: ὁ παῖς **λῡ́ει** τοὺς βοῦς.
*The boy **looses/frees** the oxen.*

Middle: ὁ πατὴρ τὸν παῖδα **λῡ́εται**.
*The father **causes** his son **to be set free**.*
*The father **ransoms** his son.*

## 3. Verb Forms: Middle Voice

Verbs in the middle voice can easily be recognized from their endings, which are different from the endings of the active voice that you learned in Chapters 1–5. Almost any verb can be used in the middle voice, and as samples of verbs in the middle, we will use our familiar λῡ́ω and φιλέω. As shown above, λῡ́ω in the middle voice may mean *I ransom.* In the case of the verb φιλέω there is no real difference in meaning between the active and middle voices; they are both transitive, and they both mean *I love* (someone or something). The verb τῑμάω is used in the middle voice as a legal term in estimating or proposing a penalty; you may meet it later when reading Plato's *Apology*.

In the following sets of forms note the *thematic* or *variable* vowels (ο or ε) between the verb stem and the endings. In the second person singular indicative and the singular imperative, the σ between the two vowels (*intervocalic sigma*) is lost, and the vowels then contract: ε + αι > ει or ῃ, and ε + ο > ου. The diphthong αι in the endings below is counted as short in determining placement of accents, e.g., λῡ́-ο-μαι.



### Middle Voice

#### λῡ́ομαι

**Stem:** λῡ-, *loosen, loose*

| **Indicative** | **Imperative** | **Infinitive** |
|---|---|---|
| **Singular** | | |
| λῡ́-ο-μαι | | λῡ́-ε-σθαι |
| λῡ́-ε-σαι > λῡ́ει* or λῡ́ῃ | λῡ́-ε-σο > λῡ́ου | |
| λῡ́-ε-ται | | |
| **Plural** | | |
| λῡ-ό-μεθα | | |
| λῡ́-ε-σθε | λῡ́-ε-σθε | |
| λῡ́-ο-νται | | |

#### φιλέομαι

| **Indicative** | **Imperative** | **Infinitive** |
|---|---|---|
| **Stem:** φιλε-, *love* | | |
| **Singular** | | |
| φιλέ-ο-μαι > φιλοῦμαι | | φιλέ-ε-σθαι > φιλεῖσθαι |
| φιλέ-ε-σαι > φιλεῖ* or φιλῇ | φιλέ-ε-σο > φιλοῦ | |
| φιλέ-ε-ται > φιλεῖται | | |
| **Plural** | | |
| φιλε-ό-μεθα > φιλούμεθα | | |
| φιλέ-ε-σθε > φιλεῖσθε | φιλέ-ε-σθε >φιλεῖσθε | |
| φιλέ-ο-νται > φιλοῦνται | | |

*The endings in -ει and -εῖ are more common in Attic prose and are used in this book.

#### τῑμάομαι

| **Indicative** | **Imperative** | **Infinitive** |
|---|---|---|
| **Stem:** τῑμα-, *honor* | | |
| **Singular** | | |
| τῑμά-ο-μαι > τῑμῶμαι | | τῑμά-ε-σθαι > τῑμᾶσθαι |
| τῑμά-ε-σαι > τῑμᾷ | τῑμά-ε-σο > τῑμῶ | |
| τῑμά-ε-ται > τῑμᾶται | | |

**Plural**

τῑμα-ό-μεθα > τῑμώμεθα
τῑμά-ε-σθε > τῑμᾶσθε τῑμά-ε-σθε > τῑμᾶσθε
τῑμά-ο-νται > τῑμῶνται

Remember that when contraction takes place, an acute accent over the first of the vowels to contract becomes a circumflex over the resulting contracted vowel (see Chapter 5, Grammar 2, page 57), and remember that ει and ου represent long vowels (see page xiv); thus in the chart above φιλέ-ο-μαι > φιλοῦμαι. An acute accent over the second of two vowels that contract remains acute in the contracted form, thus in the chart above φιλε-ό-μεθα > φιλούμεθα.

Explain the accents in each of the forms above. Remember that the diphthong αι is counted as short in these forms.

## 4. Deponent Verbs

There are many Greek verbs that have some of their forms *only* in the middle voice; they are said to be *deponent*, as if they had "put aside" (Latin *dēpōnere*) or lost their active forms. In the vocabulary list and the first reading passage in this chapter you have met the following deponent verbs:

ἀφικνέομαι, *I arrive;* + εἰς + acc., *I arrive at*
βούλομαι + infin., *I want; I wish*
γίγνομαι, *I become*
γίγνεται, *he/she/it becomes; it happens*
δέχομαι, *I receive*
ἔρχομαι, *I come; I go*
ἀπέρχομαι, *I go away*

These verbs have no active forms. The verbs πείθομαι and φοβέομαι, however, which have similar endings, do not belong in this list because they *may* be used in the active voice and therefore are not deponent: πείθω = *I persuade* X, and φοβέω = *I put* X *to flight; I terrify* X.

### Exercise 6α

*Locate thirteen verbs in the middle voice in the reading passage at the beginning of this chapter, and translate the sentences in which they occur. Identify the verbs that are deponent.*

### Exercise 6β

*Make three photocopies of the Verb Chart on page 282 and fill in the present indicative, imperative, and infinitive forms of the deponent verbs γίγνομαι and ἀφικνέομαι and the forms of the verb ὁρμάομαι,* I hasten, *which you will meet in the next chapter. Write only the contracted forms. Keep these charts for reference.*



### Exercise 6γ

*Read aloud and translate the following sets of sentences containing verbs in the active and middle voices (the middle voice verbs are all reflexive with accusative sense):*

1. τὸν κύνα λούω (*wash*).
   ἡμεῖς λουόμεθα.
2. ἡ μήτηρ τὸν παῖδα ἐγείρει (*wakes up*).
   ὁ παῖς ἐγείρεται.
3. ὁ δεσπότης τὸν δοῦλον τοῦ πόνου παύει (*stops from* + *gen.*).
   τοῦ πόνου παύομαι.
4. ὁ δοῦλος τοὺς λίθους αἴρει.
   ὁ δοῦλος ἐγείρεται καὶ ἐπαίρει ἑαυτόν (*himself*).
5. οἱ παῖδες τὸν τρόχον (*the wheel, hoop*) τρέπουσιν (*turn*).
   ὁ δοῦλος πρὸς τὸν δεσπότην τρέπεται.

### Exercise 6δ

*Read aloud and translate the following sets of sentences containing verbs in the active and middle voices (the middle voice verbs are all reflexive with dative sense or causative):*

1. τί οὐ λῦεις τοὺς βοῦς;
   ὁ ἱερεὺς (*the priest*) τὴν παῖδα λῦεται.
2. τὸ ἄροτρόν μοι φέρετε.
   ὁ νεᾱνίᾱς τὸ ἆθλον φέρεται.
3. οἱ ναῦται ναῦν μεγάλην ποιοῦσιν.
   οἱ Ἀθηναῖοι ἑορτὴν ποιοῦνται.
   (N.B. Either the active or the middle voice may be used here with little difference in meaning.)
4. ὁ βασιλεὺς τοὺς νεᾱνίᾱς αἱρεῖ.
   ὁ Θησεὺς τοὺς ἑταίρους αἱρεῖται.
   (αἱρέω = *I take*; αἱροῦμαι = *I take for myself* = *I choose*)
5. ὁ βασιλεὺς οὐκ ἐθέλει τοὺς Ἀθηναίους λῦειν.
   ἡ βασίλεια βούλεται τοὺς Ἀθηναίους λῦεσθαι.

### Exercise 6ε

*Change the following forms to their corresponding plurals and translate the plurals:*

1. λῦομαι
2. βούλεται
3. δέχει
4. φοβοῦμαι
5. ἀφικνεῖται
6. γίγνομαι

### Exercise 6ζ

*Change the following forms to their corresponding singulars and translate the singulars:*

1. λῦεσθε (2 ways)
2. πειθόμεθα
3. βούλονται
4. ἀφικνεῖσθε (2 ways)
5. φοβούμεθα
6. ἀφικνοῦνται

### Exercise 6η

*Read aloud and translate the following sentences containing deponent verbs:*

1. ὅ τε Θησεὺς καὶ οἱ ἑταῖροι ἀπὸ τῶν Ἀθηνῶν ἀποπλέουσι καὶ δι' ὀλίγου εἰς τὴν Κρήτην ἀφικνοῦνται.
2. ὅ τε βασιλεὺς αὐτὸς καὶ ἡ βασίλεια αὐτοὺς δέχονται.
3. αἱ μὲν παρθένοι μάλα φοβοῦνται, ὁ δὲ Θησεὺς οὐ φοβεῖται.
4. ἆρ' οὐ φοβεῖ τὸν Μινώταυρον; θήριον γὰρ δεινόν ἐστιν.
5. οὐ βουλόμεθα εἰς τὸν λαβύρινθον εἰσιέναι (*to go into*).
6. ἀνδρεῖοι γίγνεσθε. ἐγὼ γὰρ βούλομαι ὑμᾶς σῴζειν.
7. ἐπεὶ νὺξ γίγνεται, ἡ Ἀριάδνη πρὸς τὸ δεσμωτήριον προσέρχεται.
8. ἐπεὶ δὲ ἀφικνεῖται, τὸν Θησέα καλεῖ. βούλεται γὰρ αὐτὸν σῴζειν.
9. "μὴ φοβοῦ," φησίν· "ἐγὼ γὰρ βούλομαί σε σῴζειν."
10. ὁ Θησεὺς τὸ ξίφος δέχεται καὶ ἀνδρείως εἰς τὸν λαβύρινθον εἰσέρχεται.

### Exercise 6θ

*Translate into Greek:*

1. We want to stay.
2. I am not afraid of you.
3. They arrive at the island.
4. Don't be frightened, friends.
5. They are becoming lazy.



Theseus slays the Minotaur.



## Myth

The Greek word μῦθος means *story*, and the Greeks were great storytellers. Many of the stories were of immemorial antiquity, told to all children at their mothers' knees. There were stories about the times before man existed at all, about times when men and gods were on much closer terms than they are today, and about the gods and the heroes of old. The myths included stories of widely differing types. Some, like the creation myths, were concerned exclusively or primarily with the gods. For instance, Hesiod (*Works and Days* 42–105) relates how the demigod Prometheus, in pity for mankind, stole fire from heaven and gave it to man:

> Zeus the Cloud-Gatherer, angry with Prometheus, said to him: "Prometheus, wise beyond all others, you are very pleased to have stolen fire and to have deceived me, but it shall be a cause of suffering both to you and to men to come. In return for the theft of fire, I shall give them a great evil, in which they shall all rejoice, hugging to themselves their own trouble." So spoke the Father of men and gods and laughed aloud. He ordered Hephaestus with all speed to mix earth and water, to put in it the speech and strength of a human, and in face to give it the fair, delightful form of a young girl like the immortal goddesses. He told Athena to teach it crafts to enable it to weave the rich web on the loom; he told golden Aphrodite to pour over its head grace and troublesome desire and pains that melt the limbs; but he bade Hermes put in it the mind of a dog and a deceitful character.

The gods and goddesses did as they were told, and Hermes called the woman Pandora, "because all (πάντες) the gods who live on Olympus gave (ἐδώρησαν) her a gift (δῶρον) for men who eat bread."

> The Father sent the swift messenger of the gods, who took the gift to Epimetheus (Prometheus's brother). Epimetheus did not reflect on how Prometheus had told him never to accept a gift from Olympian Zeus but to send it back, lest it bring some evil to mortals. After he had received the evil, he remembered.

Athena decks out Pandora before sending her to Epimetheus.

Before this men lived on earth free from troubles and hard toil and the grievous diseases that bring destruction.

> But the woman took the lid off the great jar and scattered the contents, and so she brought suffering on the people. Hope alone remained inside in her indestructible home beneath the rim of the jar and did not fly out, for Pandora put the lid back before Hope could escape, through the will of Zeus the Cloud-Gatherer. Countless troubles roam among the people. The earth is full of evils, and full is the sea. Diseases come upon men in the day and others come at night, bringing suffering to mortals, silently, since Zeus has taken from them the power of speech. It is impossible to escape the will of Zeus.

This myth offers an explanation of why men suffer diseases and other troubles. (Why, for instance, should men have to work for their food? In the Golden Age earth produced all manner of food spontaneously.) The story is told in allusive style: Pandora takes the lid off a great jar, from which all troubles fly out, but we are told nothing about this jar or about how it got there and why Pandora took the lid off. Hesiod's audience presumably knew the story, and he had no need to tell them. Nor is it clear why Hope is said to remain in the jar. Is the human condition hopeless?

Other myths are based on history or what the Greeks believed to be history. The story of Theseus and the Minotaur falls into this class. Theseus was an early king of Athens, around whom a whole cycle of myths crystalized. He belonged to the generation before the Trojan War and was thought to be responsible for the unification of Attica. Minos, king of Knossos in Crete, was also believed to be a historical figure. Thucydides discusses the extent of his sea-power in the introduction to his history. *Labyrinthos* means in the ancient Cretan language *House of the Double Axe*, which may have been the name of the great palace at Knossos, where the double axe frequently appears as a religious symbol. The large size and complicated plan of this palace may account for the change in meaning of the word *labyrinth* to its later sense of "maze." Bull-jumping played an important part in Cretan ritual and is often portrayed in works of Cretan art. The bull-jumpers may well have been young captives taken from Athens and other places. We thus find in the myth of Theseus historical elements strangely transmuted in the course of time.

In another foreign adventure, Theseus is said to have accompanied Heracles on an expedition to fight the Amazons, a race of female warriors living on the south shore of the Black Sea; according to some accounts, Theseus led the expedition himself. He captured the queen of the Amazons and brought her back to Athens, but the Amazons came in pursuit and laid siege to Athens. They were defeated, but the queen of the Amazons bore Theseus a child, named Hippolytus, who was destined to be the cause of much sorrow for Theseus.

The myth of Odysseus and the Cyclops (Chapter 7) is taken from Homer's *Odyssey,* which is mainly concerned with the adventures of Odysseus during his journey home to Ithaca from Troy. It illustrates a third strand often found



in Greek myth: folk tale. The story of the little man who outwits a one-eyed man-eating giant is found in the folk tales of many other peoples, and the whole structure of the story as told by Homer shows the symmetry common in folk tales.

The making of myths seems to be a universal human activity, and myths are said to enshrine the corporate wisdom of primitive peoples. Their interpretation remains a vexed question, on which no two scholars agree. The strands that go to form the corpus of Greek myth are so many and various that any attempt to form general rules for their interpretation seems doomed to failure. However we look at them, they are stories that have caught the imagination of Western man throughout recorded history.



An Amazon in combat with a Greek warrior

# Ο ΜΥΘΟΣ (β)

ὁ Θησεὺς οὐ φοβεῖται ἀλλὰ ἀνδρείως μάχεται καὶ τὸν Μινώταυρον ἀποκτείνει.

## VOCABULARY

*Verbs*

**ἐξέρχομαι** + ἐκ + gen., *I come out of; I go out of*
**ἡγέομαι** + dat., *I lead*
**μάχομαι**, *I fight*
**παρέχω**, *I hand over; I supply, provide*
**πορεύομαι**, *I go; I walk; I march; I journey*
**προχωρέω**, *I go forward; I come forward, advance*
Cf. προσχωρέω + dat., *I approach*
**φᾱσί(ν)**, postpositive enclitic, *they say*

*Noun*

**αἱ πύλαι**, pl., *double gates*

*Adverbs*

**οὐδαμῶς**, *in no way, no*
**πολλάκις**, *many times, often*
**ὡς**, in exclamations, *how . . . !*

*Particles*

**γε**, postpositive enclitic; restrictive, *at least;* intensive, *indeed*
**δή**, postpositive; emphasizes that what is said is obvious or true, *indeed, in fact*

"ἐπεὶ δὲ ἡμέρᾱ γίγνεται, ὁ Μῖνως ἔρχεται πρὸς τὸ δεσμωτήριον καὶ καλεῖ τόν τε Θησέᾱ καὶ τοὺς ἑταίρους καὶ ἄγει αὐτοὺς πρὸς τὸν λαβύρινθον. ἐπεὶ δὲ ἀφικνοῦνται, οἱ δοῦλοι ἀνοίγουσι τὰς πύλᾱς καὶ τοὺς Ἀθηναίους εἰσελαύνουσιν. ἔπειτα δὲ τὰς πύλᾱς κλείουσι καὶ ἀπέρχονται· οὕτω γὰρ τῷ Μινωταύρῳ σῖτον παρέχουσιν εἰς πολλὰς ἡμέρᾱς. οἱ μὲν οὖν ἑταῖροι μάλα φοβοῦνται, ὁ δὲ Θησεύς, 'μὴ φοβεῖσθε, ὦ φίλοι,' φησίν· 'ἐγὼ γὰρ ὑμᾶς σώσω. ἕπεσθέ μοι οὖν ἀνδρείως.' οὕτω λέγει καὶ ἡγεῖται αὐτοῖς εἰς τὸν λαβύρινθον.

[**ἀνοίγουσι**, *open* **κλείουσι**, *they shut* **εἰς πολλὰς ἡμέρᾱς**, *for many days* **σώσω**, *I will save* **ἕπεσθέ μοι**, *follow me!*]



"ὁ μὲν οὖν Θησεὺς ἐν μὲν τῇ ἀριστερᾷ ἔχει τὸ λίνον, ἐν δὲ τῇ δεξιᾷ τὸ ξίφος, καὶ προχωρεῖ εἰς τὸν σκότον. οἱ δὲ ἑταῖροι μάλα φοβοῦνται, ἀλλ' ὅμως ἕπονται· ἡ γὰρ ἀνάγκη αὐτοὺς ἔχει. μακρὰν οὖν ὁδὸν πορεύονται καὶ πολλάκις μὲν τρέπονται, πολλάκις δὲ ψόφους δεινοὺς ἀκούουσιν· ὁ γὰρ Μινώταυρος διώκει αὐτοὺς ἐν τῷ σκότῳ καὶ μάλα δεινῶς βρῡχᾶται. ἐνταῦθα δὴ τὸν τῶν ποδῶν ψόφον ἀκούουσι καὶ τὸ τοῦ θηρίου πνεῦμα ὀσφραίνονται, καὶ ἰδού, ἐν τῇ ὁδῷ πάρεστιν ὁ Μινώταυρος. δεινῶς δὴ βρῡχᾶται καὶ ἐπὶ τὸν Θησέᾱ ὁρμᾶται.

[**τῇ ἀριστερᾷ**, *the left hand* **τῇ δεξιᾷ**, *the right hand* **τὸν σκότον**, *the darkness* **ἡ . . . ἀνάγκη**, *necessity* **τρέπονται**, *they turn* **ψόφους**, *noises* **βρῡχᾶται**, *roars* **τῶν ποδῶν**, *of feet* **τὸ τοῦ θηρίου πνεῦμα**, *the breath of the beast* **ὀσφραίνονται**, *they smell* **ὁρμᾶται**, *rushes*]

"ὁ δὲ Θησεὺς οὐ φοβεῖται, ἀλλὰ μάλα ἀνδρείως μάχεται· τῇ μὲν γὰρ ἀριστερᾷ λαμβάνεται τῆς τοῦ θηρίου κεφαλῆς, τῇ δὲ δεξιᾷ τὸ στῆθος τύπτει. ὁ δὲ Μινώταυρος δεινῶς κλάζει καὶ καταπίπτει πρὸς τὴν γῆν. οἱ δὲ ἑταῖροι, ἐπεὶ ὁρῶσι τὸ θηρίον ἐπὶ τῇ γῇ κείμενον, χαίρουσι καί, 'ὦ Θησεῦ,' φᾱσίν, 'ὡς ἀνδρεῖος εἶ. ὡς θαυμάζομέν σε καὶ τῑμῶμεν. ἀλλὰ νῦν γε σῷζε ἡμᾶς ἐκ τοῦ λαβυρίνθου καὶ ἡγοῦ ἡμῖν πρὸς τὰς πύλᾱς. μακρὰ γάρ ἐστιν ἡ ὁδὸς καὶ πολὺς ὁ σκότος· τὴν δ' ὁδὸν ἀγνοοῦμεν.'

[**λαμβάνεται . . . τῆς κεφαλῆς**, *takes hold of the head* **τὸ στῆθος**, *its breast* **κλάζει**, *shrieks* **κείμενον**, *lying* **ἀγνοοῦμεν**, *we do not know*]

"ὁ δὲ Θησεὺς οὐ φοβεῖται, ἀλλὰ τὸ λίνον λαμβάνει—οὕτω γὰρ τὴν ὁδὸν γιγνώσκει—καὶ ἡγεῖται τοῖς ἑταίροις πρὸς τὰς πύλᾱς. ἐπεὶ δ' ἀφικνοῦνται, τὸν μόχλον διακόπτουσι καὶ μένουσιν ἐκεῖ· ἔτι γὰρ ἡμέρᾱ ἐστίν. ἐπεὶ δὲ νὺξ γίγνεται, ἐξέρχονται ἐκ τοῦ λαβυρίνθου καὶ σπεύδουσι πρὸς τὴν ναῦν. ἐκεῖ δὲ τὴν Ἀριάδνην αὐτὴν ὁρῶσιν· μένει γὰρ πρὸς τῇ νηΐ. ταχέως οὖν εἰσβαίνουσι καὶ ἀποπλέουσι πρὸς τὰς Ἀθήνᾱς. οὕτως οὖν ὁ Θησεὺς τόν τε Μινώταυρον ἀποκτείνει καὶ τοὺς ἑταίρους σῴζει εἰς τὰς Ἀθήνᾱς."

[**τὸν μόχλον**, *the bolt* **διακόπτουσι**, *they cut through* **σῴζει εἰς**, *brings . . . safely to*]

οὕτω περαίνει τὸν μῦθον ἡ Μυρρίνη, ἡ δὲ Μέλιττα, "καὶ ἡ
'Αριάδνη;" φησίν· "ἆρα χαίρει; ἆρα φιλεῖ αὐτὴν ὁ Θησεύς;" ἡ δὲ 35
Μυρρίνη, "οὐδαμῶς· οὐ χαίρει ἡ 'Αριάδνη οὐδὲ φιλεῖ αὐτὴν ὁ
Θησεύς." ἡ δὲ Μέλιττα, "τί οὐ φιλεῖ αὐτὴν ὁ Θησεύς; τί γίγνεται;" ἡ δὲ
μήτηρ, "ἐκεῖνον τὸν μῦθον οὐκ ἐθέλω σοι λέγειν νῦν γε."

[**περαίνει**, *ends* **ἐκεῖνον**, *that*]

## WORD BUILDING

*Describe the relationship between the words in the following sets. From your knowledge of the words at the left, deduce the meaning of those on the right:*

| | | |
|---|---|---|
| 1. | ὁ δοῦλος | ἡ δούλη |
| 2. | ὁ φίλος | ἡ φίλη |
| 3. | ὁ θεός | ἡ θεᾱ́ |
| 4. | ὁ ἑταῖρος | ἡ ἑταίρᾱ |
| 5. | ὁ οἶκος | ἡ οἰκίᾱ |

## GRAMMAR

### 5. Middle Voice: Meaning

Note the following verbs in the middle voice in the reading passage above:

φοβοῦνται, etc. (6, 7, 10, 18, 26) = *they are afraid*, etc.

φοβέω, active voice, transitive = *I put* X *to flight; I terrify* X

φοβέομαι, middle voice, intransitive = *I am frightened, am afraid*
φοβέομαι, middle voice, transitive + acc. = *I fear, am afraid of* X

τρέπονται (12) = *they turn*

τρέπω, active voice, transitive = *I turn* X (direct object)

τρέπομαι, middle voice, intransitive, reflexive with accusative sense = *I turn myself, I turn*

ὁρμᾶται (17) = *rushes*

ὁρμάω, active voice, transitive = *I set* X (direct object) *in motion*
This verb may also be intransitive in the active voice:
ὁρμάω, active voice, intransitive = *I start; I rush*

ὁρμάομαι, middle voice, intransitive, reflexive with accusative sense = *I set myself in motion; I start; I rush; I hasten*



λαμβάνεται (19) = *takes hold of*

λαμβάνω, active voice, transitive = *I take* X (direct object in accusative case); *I take hold of* X (direct object in accusative case)

λαμβάνομαι, middle voice, reflexive with dative sense, object in genitive case = *I take hold of* X *for myself/in my own interests*

Note also the meanings of the following verbs in active and middle voices:

καθίζω, active voice, transitive = *I make* X *sit down; I set; I place*

This verb may also be intransitive in the active voice:
καθίζω, active voice, intransitive = *I sit*

καθίζομαι, middle voice, intransitive, reflexive with accusative sense = *I seat myself, sit down*

πείθω, active voice, transitive = *I persuade*

πείθομαι, middle voice, reflexive with accusative sense = *I persuade myself for* + dat. (someone or something) = *I obey* someone or something
πείθομαι αὐτῷ = *I obey him.*
πείθομαι τοῖς νόμοις = *I obey the laws.*

### Exercise 6ι

*Read aloud and translate the following sentences containing verbs with middle voice forms. Identify deponent verbs, and identify the non-deponent verbs that are used here in the middle voice:*

1. οἴκαδε βαδίζειν βουλόμεθα.
2. οἱ νεᾱνίαι καὶ αἱ παρθένοι ἐν τῷ λαβυρίνθῳ μέγα φοβοῦνται.
3. ἄργὸς γίγνει, ὦ δοῦλε.
4. εἰς τὴν Κρήτην ἀφικνούμεθα.
5. ὁ βασιλεὺς ἡμᾶς δέχεται.
6. ὁ κύων ἐπὶ τὸν λύκον ὁρμᾶται.
7. αἱ γυναῖκες πρὸς τῇ κρήνῃ καθίζονται.
8. ὁ Θησεὺς τοῦ ξίφους λαμβάνεται.
9. ἆρ' οὐκ ἐθέλεις τῷ πατρὶ πείθεσθαι;
10. μὴ φοβεῖσθε τὸν λύκον, ὦ παῖδες.

## 6. Some Uses of the Dative Case

a. The *indirect object* of verbs of giving, showing, and telling is in the dative case, e.g., οὕτω γὰρ **τῷ Μἰνωταύρῳ** σῖτον παρέχουσιν = *In this way they supply food **to the Minotaur*** or *In this way they supply **the Minotaur** with food.* Here the word σῖτον is the direct object of the verb παρέχουσιν, and the words τῷ Μἰνωταύρῳ are the indirect object.

b. The dative case may be used with linking verbs, such as ἐστί(ν) and γίγνεται, to indicate the person who *possesses* something, e.g., ἔστιν **αὐτῷ** παῖς τις ὀνόματι Θησεύς, lit., *there is **for him** a child. . . .* = *he has a child. . . .* This is called the *dative of the possessor.*

c. The Greek sentence in b above shows another use of the dative case, the *dative of respect*: **ὀνόματι** Θησεύς, lit., *Theseus **with respect to his name** = called Theseus.* ὁ Μἰνώταυρος δεινός ἐστιν **ὄψει** καὶ **φωνῇ** = *The Minotaur is terrible **with respect to/in appearance** and **voice.***

d. The dative case may be used to indicate the *means* or *instrument* by which an action is carried out, e.g., **τῇ** μὲν γὰρ **ἀριστερᾷ** λαμβάνεται τῆς τοῦ θηρίου κεφαλῆς, **τῇ** δὲ **δεξιᾷ** τὸ στῆθος τύπτει = ***with his left hand** he takes hold of the head of the beast, and **with his right hand** he strikes its chest.*

e. The dative case may be used to indicate the *time when* an action takes place, e.g., **τῇ ὑστεραίᾳ** = ***on the next day***. Note that the Greek does not use a preposition here.

f. The dative case is used after certain prepositions, especially those that indicate the *place where* someone or something is or something happens, e.g., ἐν **τῇ ἀριστερᾷ** and πρὸς **τῇ νηΐ**.

g. The dative case is used with *certain verbs*, e.g.: οἱ βόες **τῷ ἀγρῷ** προσχωροῦσιν = *the oxen approach **the field.***

Your English translation will use a direct object in the accusative case, e.g., ὁ Αἰγεὺς πείθεται **αὐτῷ** = *Aegeus obeys **him**;* ἕπεσθέ **μοι** ἀνδρείως = *follow **me** bravely;* and ἡγεῖται **αὐτοῖς** εἰς τὸν λαβύρινθον = *he leads **them** into the labyrinth.*

Verbs that take the dative case:

ἕπομαι, *I follow*
βοηθέω, *I come to* (someone's) *aid*
ἡγέομαι, *I lead*
πείθομαι, *I obey*
προσχωρέω, *I go toward, approach*
συλλαμβάνω, *I help*



### Exercise 6κ

*Locate at least twenty words or phrases in the dative case in reading passages α and β and identify each use of the dative case.*

### Exercise 6λ

*Read aloud, translate, and identify each use of the dative case:*

1. ὁ ἀνὴρ ὑμῖν οὐ πείθεται.
2. πείθεσθέ μοι, ὦ παῖδες.
3. πάρεχέ μοι τὸ ἄροτρον.
4. τὸν μῦθον τῷ παιδὶ λέγω.
5. ἔστι τῷ αὐτουργῷ ἄροτρον.
6. ὁ αὐτουργός, Δικαιόπολις ὀνόματι, τοῖς βουσὶν εἰς τὸν ἀγρὸν ἡγεῖται.
7. ὁ παῖς τὸν λύκον λίθοις βάλλει (*pelts*).
8. ἡ γυνὴ τῷ ἀνδρὶ πολὺν σῖτον παρέχει.
9. ὁ δεσπότης τοὺς δούλους τοσαύτῃ βοῇ καλεῖ ὥστε φοβοῦνται.
10. ἔστι τῷ παιδὶ καλὸς κύων.

## 7. Prepositions

While, as seen above, prepositions that take the dative case usually refer to the *place where* someone or something is or *where* some action takes place, prepositions that take the genitive often express ideas of *place from which*, and prepositions that take the accusative often express ideas of *place to which*. Observe the following examples that have been given in the vocabulary lists so far:

With genitive: **ἀπό**, *from;* **ἐκ/ἐξ**, *out of;* **μετά**, *with* (with this last example there is no sense of motion from a place)
With dative: **ἐν**, *in; on;* **ἐπί**, *upon, on;* **πρός**, *at, near, by;* **ὑπό**, *under*
With accusative: **ἀνά**, *up;* **εἰς**, *into; to; at;* **ἐπί**, *at; against;* **κατά**, *down;* **μετά**, *after;* **πρός**, *to, toward;* **ὑπό**, *under*

### Exercise 6μ

*Write out the following sentences, putting the nouns in the correct case, and then translate the sentences:*

1. πρὸς (ὁ ἀγρός) ἐρχόμεθα.
2. πρὸς (ἡ ὁδός) καθίζουσιν.
3. ἐκ (ἡ οἰκία) σπεύδει.
4. ἀπὸ (ἡ νῆσος) πλέουσιν.
5. κατὰ (ἡ ὁδός) πορεύονται
6. μετὰ (οἱ ἑταῖροι) φεύγει.
7. ἐν (ὁ λαβύρινθος) μένετε.

8. ἡγεῖσθε ἡμῖν πρὸς (ἡ κρήνη).
9. οἱ παῖδες τρέχουσιν ἀνὰ (ἡ ὁδός).
10. αἱ παρθένοι καθίζονται ὑπὸ (τὸ δένδρον).
11. ὁ κύων ὁρμᾶται ἐπὶ (ὁ λύκος).
12. οἱ ἑταῖροι εἰς (ὁ λαβύρινθος) εἰσέρχονται.

## Exercise 6ν

*Translate into Greek:*

1. Aren't you willing to obey me, boy? (Use **ἆρα**.)
2. Tell me the story.
3. I hand the plow over to you.
4. The farmer has a big ox. (*Use dative of the possessor; see Exercise 6λ, no. 5, for placement and accent of the verb.)*
5. The young man (**ὁ νεᾱνίᾱς**), called Theseus, leads his comrades bravely.
6. The boy strikes (*use* **βάλλω**) the wolf with a stone.
7. The girl hands over food to her friend.
8. The slave strikes the oxen with a goad (*use* **τὸ κέντρον**).
9. The girl approaches the gates.
10. On the next day the Athenians flee out of the labyrinth.

## Exercise 6ξ

*Translate the following pairs of sentences:*

1. ὁ Θησεὺς βούλεται τοὺς ἑταίρους σῴζειν.
   Aegeus is very afraid but obeys him.
2. οἱ μὲν Ἀθηναῖοι ἀφικνοῦνται εἰς τὴν νῆσον, ὁ δὲ βασιλεὺς δέχεται αὐτούς.
   The comrades are especially frightened, but Theseus leads them bravely.
3. μὴ μάχεσθε, ὦ φίλοι, μηδὲ (*and don't*) βοᾶτε ἀλλὰ σῑγᾶτε (*be quiet*).
   Don't fear the Minotaur, friends, but be brave!
4. ἐπεὶ νὺξ γίγνεται, ἡ παρθένος ἔρχεται πρὸς τᾶς πύλᾱς.
   When day comes (becomes), the ship arrives at the island.
5. ἐπεὶ ὁ Θησεὺς ἀποκτείνει τὸν Μῑνώταυρον, ἐπόμεθα αὐτῷ ἐκ τοῦ λαβυρίνθου.
   When we are journeying to Crete, we see many islands.





Theseus deserts Ariadne.

# Ο ΘΗΣΕΥΣ ΤΗΝ ΑΡΙΑΔΝΗΝ ΚΑΤΑΛΕΙΠΕΙ

*Read the following passages and answer the comprehension questions:*

οὕτως οὖν ὁ Θησεὺς τοὺς ἑταίρους σῴζει καὶ ἀπὸ τῆς Κρήτης ἀποφεύγει. πρῶτον μὲν οὖν πρὸς νῆσόν τινα, Νάξον ὀνόματι, πλέουσιν. ἐπεὶ δ' ἀφικνοῦνται, ἐκβαίνουσιν ἐκ τῆς νεὼς καὶ ἀναπαύονται. ἐπεὶ δὲ νὺξ γίγνεται, οἱ μὲν ἄλλοι καθεύδουσιν· αὐτὸς δὲ ὁ Θησεὺς οὐ καθεύδει ἀλλὰ ἥσυχος μένει· οὐ γὰρ φιλεῖ τὴν Ἀριάδνην οὐδὲ βούλεται φέρειν αὐτὴν πρὸς τᾶς Ἀθήνᾱς. δι' ὀλίγου οὖν, ἐπεὶ καθεύδει ἡ Ἀριάδνη, ὁ Θησεὺς ἐγείρει τοὺς ἑταίρους καί, "σῑγᾶτε, ὦ φίλοι," φησίν· "καιρός ἐστιν ἀποπλεῖν. σπεύδετε οὖν πρὸς τὴν ναῦν." ἐπεὶ οὖν εἰς τὴν ναῦν ἀφικνοῦνται, ταχέως λῡ́ουσι τὰ πείσματα καὶ ἀποπλέουσιν· τὴν δ' Ἀριάδνην λείπουσιν ἐν τῇ νήσῳ.

**[τινα**, *a certain* **Νάξον**, *Naxos* (an island in the middle of the Aegean Sea, north of Crete) **ἀναπαύονται**, *they rest* **ἥσυχος**, *quiet(ly)* **ἐγείρει**, *wakes up* **τὰ πείσματα**, *the cables*]

1. Where do Theseus and his comrades sail first?
2. What do they do first when they arrive there?
3. Why does Theseus not sleep?
4. What does Theseus say to his men when he awakens them?

ἐπεὶ δὲ ἡμέρᾱ γίγνεται, ἀνεγείρεται ἡ Ἀριάδνη καὶ ὁρᾷ ὅτι οὔτε ὁ Θησεὺς οὔτε οἱ ἑταῖροι πάρεισιν. τρέχει οὖν πρὸς τὸν αἰγιαλὸν καὶ βλέπει πρὸς τὴν θάλατταν· τὴν δὲ ναῦν οὐχ ὁρᾷ. μάλα οὖν φοβεῖται καὶ βοᾷ· "ὦ Θησεῦ, ποῦ εἶ; ἆρά με καταλείπεις; ἐπάνελθε καὶ σῷζέ με."

**[ἀνεγείρεται**, *wakes up* **τὸν αἰγιαλὸν**, *the shore* **τὴν θάλατταν**, *the sea* **ἐπάνελθε**, *come back!*]

5. What does Ariadne see when she wakes up?
6. What does she shout?

### Exercise 60

*Translate into Greek:*

1. While (ἐν ᾧ) Ariadne is calling, the god (ὁ θεός) Dionysus (ὁ Διόνῡσος) looks from heaven (*use* ὁ οὐρανός) toward earth; then he sees Ariadne and loves her.
2. So he flies (πέτεται) from heaven to earth. And when he arrives at the island, he approaches her and says, "Ariadne, don't be afraid. For I, Dionysus, am here. I love you and want to save you. Come with me to heaven."
3. So Ariadne rejoices and goes to him.
4. Then Dionysus carries her up (ἀναφέρει) to heaven; and Ariadne becomes a goddess (θεά) and stays forever (εἰσαεί) in heaven.



Dionysus rescues Ariadne.



## Classical Greek

Marriage

The following lines in praise of marriage are attributed to Hipponax (fragment 182), a sixth century B.C. writer of iambic verse, but are probably from a writer of New Comedy:

γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι
τρόπον γυναικὸς χρηστὸν ἔδνον λαμβάνειν·
αὕτη γὰρ ἡ προὶξ οἰκίᾱν σῴζει μόνη. . . .
συνεργὸν οὗτος ἀντὶ δεσποίνης ἔχει
εὔνουν, βεβαίᾱν εἰς ἅπαντα τὸν βίον.

[**γάμος**, *marriage* **κράτιστος**, *best* (translate, *The best marriage . . . is to take. . . .*) **ἀνδρὶ σώφρονι**, *for the prudent man* **τρόπον γυναικὸς χρηστὸν**, *the good character of a woman* **ἔδνον**, *(as) a wedding gift* **αὕτη . . . ἡ προὶξ**, *this dowry* **μόνη**, *alone* **συνεργὸν**, *helpmate* **οὗτος**, *this man* **ἀντὶ δεσποίνης**, *instead of a tyrant* **εὔνουν**, *well-disposed* **βεβαίᾱν**, *reliable* **εἰς ἅπαντα τὸν βίον**, *for all his life*]

## New Testament Greek

Luke 13.10–16

We begin with an English translation of the first verses of the passage:

Jesus was teaching in a synagogue on the sabbath and cured a woman who had been bowed by an infirmity for eighteen years. He laid his hands on her and said, "Woman, you are freed from your infirmity," and immediately she stood up straight. But the ruler of the synagogue, objecting because Jesus had cured her on the sabbath day, said to the crowd:

"ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν αὐταῖς οὖν ἐρχόμενοι θεραπεύεσθε καὶ μὴ τῇ ἡμέρᾳ τοῦ σαββάτου." ἀπεκρίθη δὲ αὐτῷ ὁ κύριος καὶ εἶπεν, "ὑποκρῖταί, ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης καὶ ἀπαγαγὼν ποτίζει;"

[**ἓξ**, *six* **ἐν αἷς**, *in which* **δεῖ ἐργάζεσθαι**, *(we) should work* **ἐρχόμενοι**, *going* **θεραπεύεσθε**, *work your cures* **ἀπεκρίθη**, *answered* **ὁ κύριος**, *the Lord* **εἶπεν**, *said* **ὑποκρῖταί**, *hypocrites* **ἕκαστος**, *each* **ἢ**, *or* **τὸν ὄνον**, *his ass* **τῆς φάτνης**, *the stall* **ἀπαγαγὼν**, *having led (it) away* **ποτίζει**, *give (it) water*]

Jesus concludes: "And this woman, a daughter of Abraham, whom Satan bound for eighteen years, should she not have been freed from this bond on the sabbath day?"

ἄντρον ἀφικνοῦνται, οὐδένα ἄνθρωπον εὑρίσκουσιν ἔνδον. οἱ οὖν ἑταῖροι, 'ὦ 'Οδυσσεῦ,' φᾶσίν, 'οὐδεὶς ἄνθρωπός ἐστιν ἔνδον. ἔλαυνε οὖν τά τε πρόβατα καὶ τὰς αἶγας πρὸς τὴν ναῦν καὶ ἀπόπλει ὡς 25
τάχιστα.'

[**ἄντρον**, *cave* **δώδεκα**, *twelve* **ἑαυτῷ ἕπεσθαι**, *to follow him* **ἔνδον**, *inside* **ὡς τάχιστα**, *as quickly as possible*]

"ὁ δ' 'Οδυσσεὺς οὐκ ἐθέλει τοῦτο ποιεῖν· βούλεται γὰρ γιγνώσκειν τίς ἐν τῷ ἄντρῳ οἰκεῖ. οἱ δὲ ἑταῖροι μάλα φοβοῦνται· ὅμως δὲ τῷ 'Οδυσσεῖ πείθονται καὶ μένουσιν ἐν τῷ ἄντρῳ."

[**τοῦτο**, *this* **ὅμως**, *nevertheless*]

## WORD STUDY

*Identify the Greek stems in the English words below and give the meanings of the English words:*

1. myth
2. mythology
3. polytheist (what does ὁ θεός mean?)
4. pantheist (what does πᾶν mean?)
5. monotheist (what does μόνος mean?)
6. atheist (what does ἀ- mean?)
7. theology

## GRAMMAR

### 1. Substantive Use of Adjectives

Adjectives, especially in the plural, are often used as substantives, thus functioning as nouns, and can be translated by supplying words such as "men," "women," or "things," depending on the gender of the adjective, e.g.:

ἐν δὲ τῇ ὁδῷ **πολλοὺς** ὁρῶμεν.
*We see **many (men)** on the road.*

πρὸς τὴν κρήνην **πολλαὶ** ὑδρίᾱς φέρουσιν.
***Many (women)** are carrying water jars to the spring.*

ἐν δὲ τῇ ὁδῷ **πολλὰ** καὶ **δεινὰ** πάσχουσιν.
*On the journey they suffer **many terrible (things)**.*

Note also that Greek uses the conjunction καί here, while English does not use a connective.



### 2. Nouns: Declensions

As you have seen, Greek nouns are divided into three large groups or *declensions*. You have already studied nouns of the *1st* or *alpha declension* (e.g., ἡ κρήνη, ἡ ὑδρίᾱ, ἡ μέλιττα, ἡ μάχαιρα, ὁ δεσπότης, ὁ Ξανθίᾱς, and ὁ νεᾱνίᾱς) and of the *2nd* or *omicron declension* (e.g., ὁ ἀγρός and τὸ δένδρον). Nouns of the 1st declension are feminine, except for those whose nominatives end in -ης or -ᾱς, such as ὁ δεσπότης, ὁ Ξανθίᾱς, and ὁ νεᾱνίᾱς; most nouns of the 2nd declension are masculine (e.g., ὁ ἀγρός), a few are feminine (e.g., ἡ ὁδός, ἡ νῆσος, and ἡ παρθένος), and some are neuter (e.g., τὸ δένδρον).

The *3rd declension* has many nouns of all three genders, and it is not easy to predict the gender from the ending of the nominative singular, as it is with 1st and 2nd declension nouns. Some 3rd declension nouns can be either masculine or feminine, such as ὁ or ἡ παῖς, *boy; girl; son; daughter; child.*

The stems of 3rd declension nouns end in a consonant or in vowels or diphthongs. Nouns of the 3rd declension can be recognized by the ending -ος or -ως in the genitive singular, e.g., παῖς, genitive, παιδός and πόλις, genitive, πόλεως. By removing the genitive singular ending, you find the stem, e.g., παιδ-.

To help you identify the declension to which a noun belongs and to help you determine the stem of 3rd declension nouns, we will henceforth list nouns in the vocabulary lists with their nominative and genitive forms, as follows:

| | |
|---|---|
| **1st Declension:** | ἡ κρήνη, τῆς κρήνης, *spring* |
| **(stems in -ᾱ or -α)** | ἡ ὑδρίᾱ, τῆς ὑδρίᾱς, *water jar* |
| | ἡ μέλιττα, τῆς μελίττης, *bee* |
| | ἡ μάχαιρα, τῆς μαχαίρᾱς, *knife* |
| | ὁ δεσπότης, τοῦ δεσπότου, *master* |
| | ὁ νεᾱνίᾱς, τοῦ νεᾱνίου, *young man* |
| **2nd Declension:** | ὁ ἀγρός, τοῦ ἀγροῦ, *field* |
| **(stems in -ο)** | ἡ ὁδός, τῆς ὁδοῦ, *road; way; journey* |
| | τὸ δένδρον, τοῦ δένδρου, *tree* |
| **3rd Declension:** | ὁ or ἡ παῖς, τοῦ or τῆς παιδός, *boy; girl; son; daughter; child* |
| | ἡ πόλις, τῆς πόλεως, *city* |

### 3. 3rd Declension Consonant Stem Nouns: Velar and Dental Stems

The stems of many 3rd declension nouns end in consonants. You find the stem by dropping the -ος ending from the genitive singular. The 3rd declension endings shown in the chart of forms below are then added to the stem.

### *a. Stems ending in a velar (γ, κ, χ)*

ὁ φύλαξ, τοῦ φύλακ-ος, *guard*

Cf. φυλάττω, *I guard*

**Stem:** φυλακ-, *guard*

| | Singular | | Plural | |
|---|---|---|---|---|
| **Nom.** | ὁ | φύλακ-ς > φύλαξ | οἱ | φύλακ-ες |
| **Gen.** | τοῦ | φύλακ-ος | τῶν | φυλάκ-ων |
| **Dat.** | τῷ | φύλακ-ι | τοῖς | φύλακ-σι(ν) > φύλαξι(ν) |
| **Acc.** | τὸν | φύλακ-α | τοὺς | φύλακ-ας |
| **Voc.** | ὦ | φύλακ-ς > φύλαξ | ὦ | φύλακ-ες |

Note that the vocatives are the same as the nominatives. Note that in the nominative and vocative singular and the dative plural the κ of the stem and the ς/σ of the ending produce the combination of sounds represented by the letter ξ (see page xv). And note that, as is the case with most nouns, the accent is persistent; in the genitive plural the accent cannot stand on the third syllable from the end because the final syllable is long (see Chapter 3, Grammar 3, page 32).

ὁ or ἡ αἴξ, τοῦ or τῆς αἰγ-ός, *goat*

**Stem:** αἰγ-, *goat*

| | Singular | | Plural | |
|---|---|---|---|---|
| **Nom.** | ὁ | αἴγ-ς > αἴξ | οἱ | αἶγ-ες |
| **Gen.** | τοῦ | αἰγ-ός | τῶν | αἰγ-ῶν |
| **Dat.** | τῷ | αἰγ-ί | τοῖς | αἰγ-σί(ν) > αἰξί(ν) |
| **Acc.** | τὸν | αἶγ-α | τοὺς | αἶγ-ας |
| **Voc.** | ὦ | αἴγ-ς > αἴξ | ὦ | αἶγ-ες |

Note that monosyllabic nouns of the 3rd declension usually have an accent on the final syllable of the genitive and dative cases, singular and plural. Note that the vocatives are the same as the nominatives. Note that in the nominative and vocative singular and the dative plural the γ and ς/σ produce the combination of sounds represented by the letter ξ. And note the circumflex accent over the diphthong of the stem when it is accented and followed by a short syllable (see Chapter 3, Grammar 3, page 32).

PRACTICE: Write the complete set of the forms of ὁ ὄνυξ, τοῦ ὄνυχος, *claw; nail* (note that χ and ς/σ produce the combination of sounds represented by the letter ξ).



### *b. Stems ending in a dental (δ, θ, τ)*

ὁ or ἡ παῖς, τοῦ or τῆς παιδ-ός, *boy; girl; son; daughter; child*

**Stem:** παιδ-, *boy; girl; son; daughter; child*

| | Singular | | Plural | |
|---|---|---|---|---|
| **Nom.** | ὁ | παῖδ-ς > παῖς | οἱ | παῖδ-ες |
| **Gen.** | τοῦ | παιδ-ός | τῶν | παίδ-ων |
| **Dat.** | τῷ | παιδ-ί | τοῖς | παιδ-σί(ν) > παισί(ν) |
| **Acc.** | τὸν | παῖδ-α | τοὺς | παῖδ-ας |
| **Voc.** | ὦ | παῖδ > παῖ | ὦ | παῖδ-ες |

Remember that all dental stops are lost before σ (see page xv); thus in the nominative singular and the dative plural of παῖς the δ is lost before the ς/σ of the endings. The vocative singular is the stem without the -δ (all stop consonants are lost in word-final position; the only consonants with which Greek words can end are ν, ρ, ς, or one of the double consonants ξ and ψ). Note that while monosyllabic nouns of the 3rd declension usually have an accent on the final syllable of the genitive and dative cases, singular and plural (see ὁ αἴξ on the opposite page), in this word the accent of the genitive plural is persistent and remains on the first syllable.

PRACTICE: Write the complete set of the forms of ἡ ἐλπίς, τῆς ἐλπίδος, *hope.*

The following is an example of a *neuter* dental-stem noun of the 3rd declension. Note the ways in which it is similar to and different from the masculine/feminine nouns above:

τὸ ὄνομα, τοῦ ὀνόματ-ος, *name*

**Stem:** ὀνοματ-, *name*

| | Singular | | Plural | |
|---|---|---|---|---|
| **Nom.** | τὸ | ὄνοματ > ὄνομα | τὰ | ὀνόματ-α |
| **Gen.** | τοῦ | ὀνόματ-ος | τῶν | ὀνομάτ-ων |
| **Dat.** | τῷ | ὀνόματ-ι | τοῖς | ὀνόματ-σι(ν) > ὀνόμασι(ν) |
| **Acc.** | τὸ | ὄνοματ > ὄνομα | τὰ | ὀνόματ-α |
| **Voc.** | ὦ | ὄνοματ > ὄνομα | ὦ | ὀνόματ-α |

Remember that in neuter nouns the nominative, accusative, and vocative singular forms are identical, as are the corresponding plural forms, which end in ᾰ as do 2nd declension neuters. Third declension neuter nouns do not add ς to the stem in the nominative singular as do masculine and feminine velar and dental stem nouns. Instead, the τ of the stem is lost (see above), as it also is before the σ of the dative plural ending. The vocative singular is the stem without the -τ (cf. ὦ παῖ).

## Exercise 7α

*Locate the following 3rd declension nouns in the reading passage at the beginning of this chapter. Identify the case and number of each, and explain why that particular case is being used:*

1. ἀνδρός
2. ὀνόματι
3. Ἀγαμέμνονος
4. χειμῶνας
5. αἰγῶν
6. αἶγας

## Exercise 7β

*The following 3rd declension nouns have been given in the vocabulary lists in Chapters 2–7, in the following order. Declensions of the nouns marked with asterisks have been given above; declensions of other types of 3rd declension nouns will be given in subsequent grammar sections. Give the meaning of each of the following:*

ὁ βοῦς, τοῦ βοός
ὁ or ἡ παῖς, τοῦ or τῆς παιδός*
ὁ πατήρ, τοῦ πατρός
ὁ ἀνήρ, τοῦ ἀνδρός
ἡ γυνή, τῆς γυναικός
ἡ θυγάτηρ, τῆς θυγατρός
ἡ μήτηρ, τῆς μητρός
ὁ or ἡ κύων, τοῦ or τῆς κυνός
τὸ ὄρος, τοῦ ὄρους (< ὄρε-ος)
ὁ βασιλεύς, τοῦ βασιλέως
ἡ ναῦς, τῆς νεώς
ἡ νύξ, τῆς νυκτός
ὁ Αἰγεύς, τοῦ Αἰγέως
ὁ Θησεύς, τοῦ Θησέως
τὸ ὄνομα, τοῦ ὀνόματος*
ἡ πόλις, τῆς πόλεως
ὁ Ἀγαμέμνων, τοῦ Ἀγαμέμνονος
ὁ Ὀδυσσεύς, τοῦ Ὀδυσσέως

*Using the information supplied in the charts and lists above, give the definite article to accompany each of the following 3rd declension nouns:*

1. κυνί (2 ways)
2. πατράσι(ν)
3. ἄνδρα
4. Ὀδυσσεῖ
5. ὀνόματα
6. μητέρες
7. θυγατράσι(ν)
8. γυναῖκας
9. ἀνδρῶν
10. νυκτί
11. νύκτα
12. θυγατρί
13. πόλεσι(ν)
14. ἄνδρας
15. βόες
16. ναυσί(ν)
17. Ἀγαμέμνονι
18. κύνα (2 ways)
19. γυναιξί(ν)
20. παισ(ί) (2 ways)

## 4. Reflexive Pronouns

In Chapter 4 Myrrhine says to Dicaeopolis ἔπαιρε **σεαυτόν,** ὦ ἄνερ = *Lift yourself, husband!* or *Get up, husband!* Later ὁ Δικαιόπολις μόλις ἐπαίρει **ἑαυτόν**, *Dicaeopolis reluctantly lifts himself (= gets up).* The



pronouns σεαυτόν, *yourself*, and ἑαυτόν, *himself*, are called *reflexive* since they are used to refer to or reflect the subject of the verb. Usually in English we use a word ending in *-self* to translate reflexive pronouns, but note the following example in lines 21–22 of the first story in this chapter: δώδεκα οὖν τῶν ἑταίρων κελεύει **ἑαυτῷ** ἕπεσθαι, *and so he orders twelve of his companions to follow* ***him***.

οἱ ἀθάνατοι **οὐδὲν ἄμεινον** ἔπρᾶττον τῶν ἄλλων.
*The Immortals were faring **no better** than the others.*

### *b. Superlatives*

ὁ Λεωνίδης πάντων τῶν στρατιωτῶν **ἄριστος** ἦν.
*Leonidas was **the best** of all the soldiers.*

The genitive used with superlatives, as above, is a *partitive genitive.*

### *c. Strengthened Comparisons*

An adjective in the dative case may be used to enhance a comparison, e.g.:

**πολλῷ/μακρῷ** μείζονα στρατὸν εἶχεν ὁ Ξέρξης ἢ πάντες οἱ Ἕλληνες.
*Xerxes had a **much/far** bigger army than all the Greeks.*

This is called the *dative of degree of difference;* lit., *bigger **by much/by far***. An adverb may also be used, e.g.:

ὁ Λεωνίδης πάντων τῶν στρατιωτῶν **πολὺ** ἄριστος ἦν.
*Leonidas was **by far** the best of all the soldiers.*

### *d. Superlatives with ὡς*

Note the following:

ὡς τάχιστα, *as quickly as possible*
ὡς ἀνδρειότατα, *as bravely as possible*
ὡς πλεῖστοι, *as many as possible*

### *e. Special Meanings of Comparatives and Superlatives*

Sometimes comparatives are used when no explicit comparison is being made; the comparative softens the statement, e.g.:

οἱ βάρβαροι **ἀνδρειότεροί** εἰσιν.
*The barbarians are **rather/somewhat** brave.*

Sometimes superlatives are used to indicate a very high degree of a quality when no explicit comparison is being made, e.g.:

οἱ ἀθάνατοι **ἀνδρειότατοί** εἰσιν.
*The Immortals are **very** brave.*

### Exercise 14α

*Locate six comparatives/superlatives in the reading passage at the beginning of this chapter and explain the constructions in which they occur.*

### Exercise 14β

*Translate into English:*

1. τῶν Ἑλλήνων πλεῖστοι ἔπεσον ἄριστα μαχόμενοι.
2. οἱ ὁπλῖται, καίπερ ἀνδρειότατα μαχόμενοι, οὐκ ἐδύναντο (*were able*) τοὺς πολεμίους (*the enemy*) πλέονας ὄντας ἀμῦνειν.
3. οἱ Ἕλληνες ἀνδρειότεροι ἦσαν τῶν βαρβάρων καὶ ἄμεινον ἐμάχοντο.
4. τοῖς Ἕλλησι πολλῷ ἐλάττονες νῆες ἦσαν ἢ τοῖς βαρβάροις.
5. ἐν ἐκείνῃ τῇ μάχῃ τῶν μὲν Ἑλλήνων πολλοὶ ἀπέθανον, τῶν δὲ πολεμίων πολλῷ πλέονες.
6. ἡ γυνή, πολλῷ σωφρονεστέρᾳ οὖσα τοῦ ἀνδρός, ἀληθέστερα εἶπεν.
7. οἱ Ἕλληνες, καίπερ ὀλίγιστοι ὄντες, τὰ ὅπλα (*their weapons*) παρεσκεύαζον, ἐν νῷ ἔχοντες ὡς ἀνδρειότατα ἀποθανεῖν.
8. οἱ βάρβαροι, καίπερ ἀγριώτατα προσβάλλοντες, οὐκ ἐδύναντο τοὺς Ἕλληνας νῑκῆσαι.

### Exercise 14γ

*Translate into Greek:*

1. The Persians had (*use imperfect of* ἔχω) a bigger army than we, but we were fighting more bravely.
2. The best soldiers of Xerxes attacked most fiercely but were faring no better than the others.
3. Old men are not always wiser than young men.
4. The hoplites attacked the Persians even (καί) more fiercely.
5. We decided to return home rather than to stay in the city.
6. The messenger, whom we heard in the agora, spoke more truly than you.

## The Rise of Athens

Athens played no part in the colonizing movement of the eighth and seventh centuries; she controlled a larger area than any other Greek state except Sparta and so had less need to send out colonies. She was also at this time somewhat backward. An attempt was made to establish a tyranny at Athens by Cylon (632 B.C.), but he failed to win popular support.



Forty years later in the 590s, the discontent of the farmers threatened to lead to civil war in Attica, and Solon was appointed arbitrator to find a solution (see page 118). Although his legislation pleased neither farmers nor nobles, his reforms had a lasting and profound effect both constitutionally and economically. Athens enjoyed a new prosperity. She began to export both olive oil and fine pottery; Attic black figure pottery, which had begun to appear about 600 B.C., gradually drove out Corinthian ware, and achieved a monopoly throughout the Greek world and beyond.

A renewed threat of civil war allowed Pisistratus to establish a tyranny, but Athens continued to grow in prosperity and power throughout his tyranny (546–527) and that of his son, Hippias. Hippias was driven out in 510, and three years later Cleisthenes put through the reforms that established a democracy. Immediately Athens was attacked by enemies on every side. The Spartan king Cleomenes led the army of the Peloponnesian League against her but turned back at the border, because the Corinthians refused to fight in an unjust war. Meanwhile the Boeotians had invaded Attica from the north and the Chalcidians from the east. As soon as Cleomenes had turned back, the Athenian army hurried north, defeated the Boeotians and then crossed to Euboea and inflicted a crushing defeat on the Chalcidians, taking and destroying their city.

When Aristagoras arrived in Athens to ask for help in the Ionian revolt against Persia, the Athenian people were confident enough to accept his appeal (see page 220). Since Hippias had taken refuge with the Persians, their motives were not entirely disinterested. Less than ten years later, Athens faced the might of Persia alone at Marathon, and her victory there filled the democracy with boundless pride and confidence.

Although Athens was now powerful by land, her navy was still inconsiderable. The founder of Athenian sea power was Themistocles, the victor of Salamis, who foresaw that the future of Athens lay by sea and who, as archon in 493/492 B.C., had begun the fortification of the Piraeus. Ten years later an exceptionally rich vein of silver was found in the state mines at Laurium. It was proposed to divide this windfall up among the citizens, but Themistocles persuaded the Assembly to use the money to build a new fleet. Two years later at Salamis we find that Athens had a fleet of 200 triremes, more than half the whole Greek force of 350 ships. Themistocles as admiral of the Athenian contingent had the greatest influence in the allied councils and devised the tactics that won victory at Salamis in 480 B.C. If Sparta remained the greatest land power among the Greeks, from now on there could be no doubt that Athens would take the lead by sea.

When representatives of the thirty-one loyal Greek states had met at Corinth in 481 B.C. to plan resistance to Xerxes' imminent invasion, the allies agreed without dispute to give Sparta command by both land and sea. News of Xerxes' preparations must have reached Greece a good time before this. He had summoned contingents from all over his empire and spent the winter of 481/480 at Sardis assembling and preparing his invasion force. According to Herodotus, his navy consisted of 1,207 ships and his army of

1,700,000 fighting men. The figure for the navy may be approximately correct, but that for the army is absurd. It may have numbered 200,000. To bring this great host into Europe, Xerxes' engineers constructed two bridges of boats across the Hellespont (480 B.C.). When they were destroyed by a storm, two new and stronger bridges were built, and the army crossed the Hellespont and proceeded along the coast, supplied by the navy. At Mount Athos, off which the Persian fleet had been wrecked in 492 B.C., a canal had been dug across the promontory, one and a half miles or two and a half kilometers long, to forestall a similar disaster (see map, page 230). The invading force continued inexorably through Macedonia and into Thessaly. There was no resistance; the Greeks had abandoned any idea of making a stand anywhere north of Thermopylae, the only place where geography made it possible to hold off the Persians by a combined operation by sea and land. The next defensible point was the Isthmus of Corinth, but withdrawal to this would mean abandoning Attica. Even the wall across the Isthmus would not provide effective defense, if the position could be circumvented by a landing of the Persian fleet south of the Isthmus.

Around the outside of this cup four Athenian warships are being rowed, with dolphins leaping beside their prows. They are not triremes, which with 170 oarsmen were too complicated for any artist to draw on a vase. They are penteconters, which had fifty oarsmen. Note the helmsmen holding the steering oars, the high platform in the bows where the lookout stood, and the bronze beaks that were used for ramming the enemy.



## Classical Greek

Archilochus

For Archilochus, see pages 121, 173, and 231. In the following epigram (poem 5, Gerber), he defiantly tells the world that in a battle against a Thracian tribe, the Saioi, he threw away his shield and ran:

ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ,
ἔντος ἀμώμητον, κάλλιπον οὐκ ἐθέλων·
αὐτὸν δ' ἐξεσάωσα. τί μοι μέλει ἀσπὶς ἐκείνη;
ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω.

[**ἀσπίδι** (from ἀσπίς), *my shield* **ἀγάλλεται** + dat., *enjoys* **παρὰ θάμνῳ**, *by a bush* **ἔντος**, *a weapon* **ἀμώμητον**, *blameless, excellent* **κάλλιπον** = κατέλιπον **αὐτὸν** = **ἐμαυτὸν** **ἐξεσάωσα** = ἐξέσωσα (from ἐκσῴζω, *I keep* X *safe*) **τί μοι μέλει ἀσπὶς ἐκείνη**, *what do I care about that shield?*, lit., *why is that shield a concern to me?* **ἐρρέτω**, *let it go!* **ἐξαῦτις** = αὖθις **κτήσομαι** (supply ἄλλην), *I will get (another)* **κακίω** = κακίονα]

## New Testament Greek

Luke 10.25–29
The Good Samaritan

καὶ ἰδοὺ νομικός τις ἀνέστη ἐκπειράζων αὐτὸν λέγων, "διδάσκαλε, τί ποιήσᾱς ζωὴν αἰώνιον κληρονομήσω;" ὁ δὲ εἶπεν πρὸς αὐτόν, "ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις;" ὁ δὲ ἀποκριθεὶς εἶπεν, "ἀγαπήσεις κῦριον τὸν θεόν σου ἐξ ὅλης καρδίᾱς σου καὶ ἐν ὅλῃ τῇ ψῡχῇ σου καὶ ἐν ὅλῃ τῇ ἰσχύϊ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν." εἶπεν δὲ αὐτῷ, "ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει καὶ ζήσῃ." ὁ δὲ θέλων δικαιῶσαι ἑαυτὸν εἶπεν πρὸς τὸν Ἰησοῦν, "καὶ τίς ἐστίν μου πλησίον;"

[**νομικός**, *lawyer* **ἀνέστη**, *stood up* **ἐκπειράζων**, *testing* **αὐτὸν**, i.e., Jesus **διδάσκαλε**, *teacher* **ζωὴν**, *life* **αἰώνιον**, *eternal* **κληρονομήσω**, *will I inherit* **τῷ νόμῳ**, *the law* **γέγραπται**, *has been/is written* **ἀναγινώσκεις** = ἀναγιγνώσκεις, *do you read* **ἀποκριθεὶς**, aorist passive participle with active meaning, *answering* **ἀγαπήσεις**, *you will love* **κῦριον**, *the Lord* **ὅλης**, *whole* **καρδίᾱς**, *heart* **ἐν**, here best translated *with* **τῇ ψῡχῇ**, *the soul* **τῇ ἰσχύϊ**, *the strength* **τῇ διανοίᾳ**, *the mind* **πλησίον**, adv. or prep. + gen., *near;* **τὸν πλησίον σου** = *your neighbor* **ζήσῃ** (from *ζάω), *you will live* **δικαιῶσαι**, *to justify* **μου πλησίον** = ὁ πλησίον μου, *the one near me, my neighbor*]

Concluded at the end of the chapter

# Η ΕΝ ΤΑΙΣ ΘΕΡΜΟΠΥΛΑΙΣ ΜΑΧΗ (β)



οἱ Ἕλληνες μνημεῖον ἐποίησαν τῷ Λεωνίδῃ, ἀνδρὶ ἀρίστῳ, λέοντα λίθινον.

## VOCABULARY

*Verbs*

**ἀγγέλλω**, [ἀγγελε-] **ἀγγελῶ**, [ἄγγειλ-] **ἤγγειλα**, ἀγγείλᾱς, *I announce; I tell*

**ἀναχωρέω, ἀναχωρήσω, ἀνεχώρησα**, ἀναχωρήσᾱς, *I retreat, withdraw*

**ἀντέχω** [= ἀντι- + ἔχω], imperfect, ἀντεῖχον (irregular augment), **ἀνθέξω** (irregular), [σχ-] **ἀντέσχον**, ἀντισχών + dat., *I resist*

**γράφω, γράψω, ἔγραψα**, γράψᾱς, *I write*

**διέρχομαι** [= δια- + ἔρχομαι], [εἰ-/ἰ-] **δίειμι**, [ἐλθ-] **διῆλθον**, διελθών, *I come through; I go through*

**παραγίγνομαι**, [γενε-] **παραγενήσομαι**, [γεν-] **παρεγενόμην**, παραγενόμενος, *I arrive*

**φράζω, φράσω, ἔφρασα**, φράσᾱς, *I show; I tell; I tell of, explain*

*Nouns*

**ὁ πόλεμος, τοῦ πολέμου**, *war*

**αἱ πύλαι, τῶν πυλῶν**, pl., *double gates; pass* (through the mountains)

*Adjectives*

**ἅπᾱς, ἅπᾶσα, ἅπαν**, *all; every; whole*

**ὅδε, ἥδε** (note the accent), **τόδε**, *this here;* pl., *these here*

Note the predicate position: ὅδε ὁ ἄνθρωπος or ὁ ἄνθρωπος ὅδε, *this man here*

**πολέμιος, -ᾱ, -ον**, *hostile; enemy*

**οἱ πολέμιοι, τῶν πολεμίων**, *the enemy*

**ἡ Βοιωτίᾱ τῆς Βοιωτίᾱς** *Boeotia*

**ὁ Ἐφιάλτης, τοῦ Ἐφιάλτου**, *Ephialtes*

**ἡ Πελοπόννησος, τῆς Πελοποννήσου**, *the Peloponnesus*

**ὁ Σπαρτιάτης, τοῦ Σπαρτιάτου**, *a Spartan*

**τὸ Φάληρον, τοῦ Φαλήρου**, *Phalerum* (the old harbor of Athens)



*Adverb*

**ὅπου**, *where*

*Conjunctions*

**ἕως**, *until*

**ὡς**, *when*

*Expression*

**τῇ προτεραίᾳ**, *on the day before*

*Proper Names*

**τὸ Ἀρτεμίσιον, τοῦ Ἀρτεμισίου**, *Artemisium*

**ἡ Ἀττική, τῆς Ἀττικῆς**, *Attica*

"τῇ δ' ὑστεραίᾳ οἱ βάρβαροι αὖθις προσβάλοντες οὐδὲν ἄμεινον ἔπρᾱττον ἢ τῇ προτεραίᾳ. ὡς οὖν ἠπόρει ὁ Ξέρξης, προσῆλθε πρὸς αὐτὸν ἀνήρ τις τῶν Ἑλλήνων, Ἐφιάλτης ὀνόματι, ἔφρασέ τε τὴν ἀτραπὸν τὴν διὰ τοῦ ὄρους φέρουσαν εἰς τᾱ̀ς Θερμοπύλᾱς. ταῦτα δὲ μαθὼν ὁ Ξέρξης τοὺς ἀθανάτους ταύτῃ ἔπεμψεν, κελεύων αὐτοὺς ἐκ τοῦ ὄπισθεν λαβεῖν τοὺς Ἕλληνας. οἱ δὲ Ἕλληνες μαθόντες τί γίγνεται πρῶτον μὲν ἠπόρουν τί δεῖ πρᾶξαι, τέλος δὲ ἔδοξε τῷ Λεωνίδῃ τοὺς μὲν ἄλλους ἀποπέμψαι πρὸς τὴν Ἀττικήν, αὐτὸς δὲ ἔμενεν ἐν ταῖς Θερμοπύλαις τριᾱκοσίους ἔχων Σπαρτιᾱ́τᾱς ἐν νῷ ἔχων τᾱ̀ς πύλᾱς φυλάττειν.

[**τε**, *and* **τὴν ἀτραπὸν**, *the path* **φέρουσαν**, *leading* **ταύτῃ**, *this way* **ἐκ τοῦ ὄπισθεν**, *from the rear* **τριᾱκοσίους**, *three hundred*]

"οἱ μὲν οὖν βάρβαροι προσέβαλον, οἱ δὲ Σπαρτιᾱ́ται ἐμάχοντο πρὸς πολεμίους πολλαπλασίους ὄντας καὶ πλείστους δὴ ἀπέκτειναν· τῶν δ' Ἑλλήνων ἄλλοι τε πολλοὶ ἔπεσον καὶ αὐτὸς ὁ Λεωνίδης, ἀνὴρ ἄριστος γενόμενος. τέλος δὲ οἱ Πέρσαι οἱ διὰ τοῦ ὄρους διελθόντες παρεγένοντο καὶ ἐκ τοῦ ὄπισθεν προσέβαλον. τότε δὴ οἱ Σπαρτιᾱ́ται εἰς τὸ στενὸν τῆς ὁδοῦ ἀνεχώρουν καὶ ἐνταῦθα ἐμάχοντο ἕως ἅπαντες ἔπεσον.

[**πολλαπλασίους**, *many times their number*]

"οἱ δὲ Ἕλληνες μετὰ τὸν πόλεμον τοὺς τριᾱκοσίους ἔθαψαν ὅπου ἔπεσον καὶ μνημεῖον ἐποίησαν τῷ Λεωνίδῃ, λέοντα λίθινον, ὃν καὶ νῦν ἔξεστιν ἰδεῖν. καὶ τοῦτο τὸ ἐπίγραμμα ἐν στήλῃ λιθίνῃ ἔγραψαν·

ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

[**ἔθαψαν**, *they buried* **ἐπίγραμμα**, *inscription* **στήλῃ**, *tombstone* **ὦ ξεῖν' = ὦ ξένε** **ἀγγέλλειν**: infinitive used as imperative **τῇδε**, *here* **κείμεθα**, *we lie* **τοῖς κείνων ῥήμασι**, *their words*]

"ἐν δὲ τούτῳ κατὰ θάλατταν οἱ Ἕλληνες πρὸς τῷ Ἀρτεμισίῳ μένοντες τὰ στενὰ ἐφύλαττον καὶ ναυμαχοῦντες τοὺς βαρβάρους ἐνίκησαν καίπερ πλέονας ὄντας καὶ ἥμῦναν. ὡς δὲ οἱ βάρβαροι τὰς Θερμοπύλᾱς εἷλον, οἱ Ἕλληνες οὐκέτι ἐφύλαττον τὰ στενὰ ἀλλὰ πρὸς τὴν Σαλαμῖνα ταῖς ναυσὶν ἀνεχώρουν. κατὰ δὲ γῆν οὐκέτι ἐδύναντο ἀντέχειν τοῖς βαρβάροις ἀλλὰ ἔφευγον πρὸς τὴν Πελοπόννησον, τήν τε Βοιωτίᾱν καὶ τὴν Ἀττικὴν τοῖς πολεμίοις καταλιπόντες. οὕτως οὖν οἱ βάρβαροι κατὰ μὲν γῆν προχωρήσαντες ταῖς Ἀθήναις προσβαλεῖν ἐν νῷ εἶχον, κατὰ δὲ θάλατταν εἰς τὸ Φάληρον πλεύσαντες ἐν τῷ λιμένι ὥρμουν."

[**ναυμαχοῦντες**, *fighting at sea* **ταῖς ναυσὶν**, *with their ships* **ἐδύναντο**, *they were able* **ὥρμουν** (from ὁρμέω), *came to lie at anchor*]

## WORD BUILDING

*Deduce the meanings of the words in the following sets:*

| | | | | |
|---|---|---|---|---|
| 1. | ὁ στρατός | ἡ στρατιά | στρατεύω (-ομαι) | τὸ στράτευμα |
| 2. | ὁ στρατηγός | στρατηγέω | στρατηγικός, -ή, -όν | ὁ στρατιώτης |
| 3. | ὁ πόλεμος | πολέμιος, -ᾱ, -ον | πολεμικός, -ή, -όν | πολεμέω |

## GRAMMAR

### 5. Demonstrative Adjectives

Here are three demonstrative adjectives, used when pointing to particular things (cf. the Latin *dēmōnstrō*, "I point out"):

οὗτος, αὕτη, τοῦτο, *this*
ἐκεῖνος, ἐκείνη, ἐκεῖνο, *that*
ὅδε, ἥδε, τόδε, *this here*

In the chart below, note that the demonstrative adjective οὗτος begins with τ everywhere the definite article does; the feminine has -αυ- instead of -ου- everywhere except in the genitive plural; and the neuter plural nominative and accusative have -αυ-:



οὗτος, αὕτη, τοῦτο, *this*

| | **Singular** | | | **Plural** | | |
|---|---|---|---|---|---|---|
| | **M.** | **F.** | **N.** | **M.** | **F.** | **N.** |
| **Nom.** | οὗτος | αὕτη | τοῦτο | οὗτοι | αὗται | ταῦτα |
| **Gen.** | τούτου | ταύτης | τούτου | τούτων | τούτων | τούτων |
| **Dat.** | τούτῳ | ταύτῃ | τούτῳ | τούτοις | ταύταις | τούτοις |
| **Acc.** | τοῦτον | ταύτην | τοῦτο | τούτους | ταύτᾱς | ταῦτα |

ἐκεῖνος, ἐκείνη, ἐκεῖνο, *that*

| | | | | | | |
|---|---|---|---|---|---|---|
| **Nom.** | ἐκεῖνος | ἐκείνη | ἐκεῖνο | ἐκεῖνοι | ἐκεῖναι | ἐκεῖνα |
| **Gen.** | ἐκείνου | ἐκείνης | ἐκείνου | ἐκείνων | ἐκείνων | ἐκείνων |
| **Dat.** | ἐκείνῳ | ἐκείνῃ | ἐκείνῳ | ἐκείνοις | ἐκείναις | ἐκείνοις |
| **Acc.** | ἐκεῖνον | ἐκείνην | ἐκεῖνο | ἐκείνους | ἐκείνᾱς | ἐκεῖνα |

The demonstrative adjective ὅδε is formed from the definite article plus -δε.

ὅδε, ἥδε, τόδε, *this here*

| | | | | | | |
|---|---|---|---|---|---|---|
| **Nom.** | ὅδε | ἥδε | τόδε | οἵδε | αἵδε | τάδε |
| **Gen.** | τοῦδε | τῆσδε | τοῦδε | τῶνδε | τῶνδε | τῶνδε |
| **Dat.** | τῷδε | τῇδε | τῷδε | τοῖσδε | ταῖσδε | τοῖσδε |
| **Acc.** | τόνδε | τήνδε | τόδε | τούσδε | τᾱ́σδε | τάδε |

Note that these demonstrative adjectives require the definite article to be used with the noun and that the adjectives stand outside the definite article-noun group, i.e., in the *predicate position* (see Chapter 5, Grammar 7b, page 66), e.g.:

**οὗτος** ὁ ἀνήρ or ὁ ἀνὴρ **οὗτος** = *this man*
**ἐκείνη** ἡ γυνή or ἡ γυνὴ **ἐκείνη** = *that woman*
**τόδε** τὸ ἔργον or τὸ ἔργον **τόδε** = *this work*

The datives ταύτῃ and τῇδε are used as adverbs, meaning *in this way; here*.

### Exercise 14δ

*Give the correct form of the demonstrative to fit the following phrases:*

1. (οὗτος) αἱ γυναῖκες
2. (ἐκεῖνος) τὸ δένδρον
3. (οὗτος) τὰ ὀνόματα
4. (ὅδε) τῶν νεᾱνιῶν
5. (οὗτος) τῆς παρθένου
6. (οὗτος) οἱ βάρβαροι
7. (ἐκεῖνος) τοῦ στρατοῦ
8. (οὗτος) τῇ πόλει
9. (ὅδε) οἱ γέροντες
10. (οὗτος) τοῦ στρατιώτου

### Exercise 14ε

*Translate:*

1. ἐκεῖνο τὸ δένδρον μέγιστόν ἐστιν· οὐδέποτε (*never*) εἶδον δένδρον μεῖζον.
2. ἆρ' ὁρᾷς τούσδε τοὺς παῖδας, οἳ ἐκεῖνον τὸν κύνα διώκουσιν;
3. ταῦτα μαθοῦσαι αἱ γυναῖκες εὐθὺς τοὺς ἄνδρας ἐκάλεσαν.
4. τί οὐ βούλει τῷ ἀρότρῳ τούτῳ χρῆσθαι; ἄμεινον γάρ ἐστιν ἐκείνου.
5. τί ποιεῖς, ὦ πάτερ; ἆρα ταύτῃ τῇ γυναικὶ διαλέγει;
6. οἱ Ἕλληνες ἀνδρειότεροι ἦσαν τῶν Περσῶν.
7. οἱ Σπαρτιᾶται πάντες ἀπέθανον ἀνδρειότατα μαχόμενοι.
8. This road is worse than that, but that (one) is longer.
9. After seeing this (*use the neuter plural*), that old man was growing very angry.
10. These women are wiser than those young men.

## 6. Interrogative and Indefinite Pronouns, Adjectives, and Adverbs

In Chapter 7 (Grammar 8 and Grammar 9, pages 108–109) you learned the interrogative pronoun τίς, τί, *who? what?* and the corresponding indefinite adjective τις, τι, meaning *a certain*, *a*, or *an*. The interrogative pronoun always has an acute accent, while the indefinite adjective is enclitic.

Interrogative adverbs also have corresponding indefinite, enclitic forms:

| **Interrogative Adverbs** | | **Indefinite Adverbs** | |
|---|---|---|---|
| ποῦ; | *where?* | που | *somewhere, anywhere* |
| πόθεν; | *from where? whence?* | ποθέν | *from somewhere* |
| ποῖ; | *to where? whither?* | ποι | *to somewhere* |
| πότε; | *when?* | ποτέ | *at some time, at one time, once, ever* |
| πῶς; | *how?* | πως | *somehow, in any way* |

These indefinite adverbs cannot stand first in their clause, and they attach themselves to some important word as enclitics.

If an enclitic is followed by another enclitic, the first receives an accent but the second does not, e.g.: δυνατόν ἐστί ποτε, *it is ever possible.* (Remember that ἐστί is enclitic.) If an enclitic is followed by more than one enclitic, all but the last receive acute accents, e.g.: δυνατόν ἐστί σοί ποτε, *it is ever possible for you.*



### Exercise 14ζ

*Translate into English. Locate indefinite adjectives and adverbs and explain why the accents are used that accompany them. Consult Enclitics and Proclitics, page 285, if necessary.*

1. τίνες ἐλαύνουσι τοὺς βοῦς; γέροντές τινες αὐτοὺς ἐλαύνουσιν.
2. ποῖ πορεύεται ὁ βασιλεύς; ὁ βασιλεὺς πορεύεταί ποι πρὸς τὰ ὄρη.
3. ποῦ εἰσιν οἱ ναῦται; ἐν τῷ λιμένι πού εἰσιν οἱ ναῦται.
4. τί πάσχετε, ὦ παῖδες; ἆρα κακόν τι πάσχετε;
5. πόθεν ἥκεις, ὦ ἄνερ; ἥκω ἀπὸ τῶν ὁρῶν ποθεν, ὦ γύναι.
6. πότε ἐν νῷ ἔχεις εἰς τὸ ἄστυ ἰέναι; δι' ὀλίγου ποτὲ ἐκεῖσε ἰέναι ἐν νῷ ἔχω.
7. πῶς τοῦτο ἐποίησας; τοῦτο ἐποίησα τεχνικῶς (*skillfully*) πως.
8. ποῦ μένει ὁ ἀδελφός; ὁ σὸς ἀδελφὸς μένει που ἐγγὺς τῆς ἀγορᾶς.

# ΟΙ ΠΕΡΣΑΙ ΤΑ ΥΠΕΡ ΘΕΡΜΟΠΥΛΩΝ ΣΤΕΝΑ ΑΙΡΟΥΣΙΝ

*Read the following passages (based on Herodotus 7.215–219) and answer the comprehension questions:*

ὁ δὲ Ξέρξης, μαθὼν ὅτι ἀτραπός ἐστιν ὑπὲρ τὸ ὄρος φέρουσα, μάλα χαίρων ἔπεμψε τὸν Ὑδάρνην, στρατηγὸν ὄντα ἄριστον, καὶ τοὺς ἄνδρας ὧν ἐστρατήγει ὁ Ὑδάρνης. ὡρμῶντο δὲ πρὸς ἑσπέρᾱν ἀπὸ τοῦ στρατοπέδου, ἡγεῖτο δὲ αὐτοῖς ὁ Ἐφιάλτης. αὕτη δὲ ἡ ἀτραπὸς ἄρχεται ἀπὸ τοῦ Ἀσωποῦ ποταμοῦ. οἱ οὖν Πέρσαι τὸν Ἀσωπὸν διαβάντες ἐπορεύοντο πᾶσαν τὴν νύκτα. ἐγίγνετο δὲ ἡμέρᾱ, καὶ οἱ Πέρσαι ἀφῖκοντο εἰς ἄκρον τὸ ὄρος. κατὰ δὲ τοῦτο τοῦ ὄρους ἐφύλαττον Ἑλλήνων χίλιοι ὁπλῖται.

**[ὑπὲρ** + acc., *over* **τὸν Ὑδάρνην**, *Hydarnes* **στρατηγόν**, *general* **ὧν ἐστρατήγει**, *of whom (he) was in command* **τοῦ στρατοπέδου**, *the camp* **ἄρχεται**, *begins* **τοῦ Ἀσωποῦ ποταμοῦ**, *the Asopus River* **διαβάντες**, *having crossed* **κατὰ . . . τοῦτο τοῦ ὄρους**, *on this (part) of the mountain* **χίλιοι**, *a thousand*]

1. What had Xerxes learned? Whom did he send?
2. When did they set out? Who led them?
3. Where did the path begin?
4. How long did the Persians march?
5. Who were guarding the top of the mountain?

οὗτοι δὲ οὐκ εἶδον τοὺς Πέρσᾱς ἀναβαίνοντας· πολλὰ γὰρ ἦν δένδρα κατὰ τὸ ὄρος. ψόφον δὲ ἀκούοντες ἔμαθον ὅτι ἀνέβησαν οἱ Πέρσαι. ἔδραμον οὖν οἱ Ἕλληνες καὶ ἐνέδυον τὰ ὅπλα, καὶ εὐθὺς παρῆσαν οἱ βάρβαροι. ἐπεὶ δὲ οἱ Πέρσαι εἶδον

ἄνδρας ἐνδύοντας ὅπλα, ἐθαύμαζον· ἐλπίζοντες γὰρ οὐδένα φυλάττειν τὴν ἀτραπόν, ἐνεκύρησαν στρατῷ. ὁ μὲν οὖν Ὑδάρνης διέταξε τοὺς Πέρσᾱς εἰς μάχην· οἱ δὲ Ἕλληνες ἐλπίζοντες τοὺς βαρβάρους ἐν νῷ ἔχειν προσβαλεῖν, ἔφυγον εἰς τὸν τοῦ ὄρους κόρυμβον καὶ παρεσκευάζοντο μαχόμενοι ἀποθανεῖν. οἱ δὲ Πέρσαι τῶν μὲν Ἑλλήνων οὐδένα λόγον ἐποιοῦντο, κατέβησαν δὲ τὸ ὄρος ὡς τάχιστα. 15

[**ψόφον**, *noise* **ἀνέβησαν**, *had come up, had ascended* **ἐνέδυον** (from ἐνδύω) **τὰ ὅπλα**, *began to put on their armor, began to arm themselves* **ἐνεκύρησαν** (from ἐγκυρέω) + dat., *they met, came face to face with* **διέταξε** (from διατάττω), *arranged, marshaled* **εἰς** + acc., *for* **τὸν . . . κόρυμβον**, *the top, the peak* **οὐδένα λόγον ἐποιοῦντο** + gen., *were taking no notice of,* lit., *were making no calculation of* **κατέβησαν**, *they went down*]

6. Why didn't the Greeks see the Persians approaching?
7. How did they learn of the Persians' arrival?
8. What did the Greeks do immediately?
9. Why were the Persians surprised to see the Greeks?
10. What did Hydarnes do?
11. What was the response of the Greeks?
12. What did the Persians do?

### Exercise 14η

*Translate into Greek:*

1. When the Persians had taken (*use aorist*) Thermopylae, they went toward (*use* **προσχωρέω**) Attica.
2. The Greeks retreated both by land and by sea, leaving (behind) Attica to the enemy.
3. The Athenians, having sent the women and children and old men to the Peloponnesus and Salamis, were preparing to fight by sea.
4. So they asked the other Greeks to sail to Salamis as quickly as possible.
5. The Peloponnnesians (**οἱ Πελοποννήσιοι**), who were making a wall across (**διά** + *gen.*) the Isthmus (*use* **ὁ Ἰσθμός**), were not wishing to come to aid the Athenians, but nevertheless sent their ships to Salamis.



## Classical Greek

Theognis

For Theognis, see pages 163 and 185. In the following lines (1197–1200), while in exile, he hears the crane, which in its autumn migration to Africa is a sign that it is time to plow:

ὄρνῑθος φωνήν, Πολυπαΐδη, ὀξὺ βοώσης
ἤκουσ', ἥ τε βροτοῖς ἄγγελος ἦλθ' ἀρότου
ὡραίου· καί μοι κραδίην ἐπάταξε μέλαιναν,
ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς.

[**ὄρνῑθος φωνήν**, *the voice of the bird* (ὄρνῑς) i.e., the crane **Πολυπαΐδη**, voc., Polypaïdes is the friend to whom Theognis addresses his poetry **ὀξύ**, *loudly* **ἥ τε**, *which* **βροτοῖς**, *to mortals* **ἦλθ(εν)**, gnomic aorist, translate as present, *comes* **ἀρότου ὡραίου**, *of plowing (being) seasonable*, i.e., of the season of plowing **μοι κραδίην**, *my heart* **ἐπάταξε**, *struck* **μέλαιναν**, *black* **ὅττι** = ὅτι, *because* **εὐανθεῖς**, *fair-flowering*]

## New Testament Greek

Luke 10.30–37
The Good Samaritan (concluded)

ὑπολαβὼν ὁ Ἰησοῦς εἶπεν, "ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχὼ καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον ἀφέντες ἡμιθανῆ. κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν· ὁμοίως δὲ καὶ Λευίτης κατὰ τὸν τόπον ἐλθὼν καὶ ἰδὼν ἀντιπαρῆλθεν. Σαμαρίτης δέ τις ὁδεύων ἦλθεν κατ' αὐτὸν καὶ ἰδὼν ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησεν τὰ τραύματα αὐτοῦ ἐπιχέων ἔλαιον καὶ οἶνον, ἐπιβιβάσᾱς δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον καὶ ἐπεμελήθη αὐτοῦ. . . . τίς τούτων τῶν τριῶν πλησίον δοκεῖ σοι γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς;" ὁ δὲ εἶπεν, "ὁ ποιήσᾱς τὸ ἔλεος μετ' αὐτοῦ." εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς, "πορεύου καὶ σὺ ποίει ὁμοίως."

[**ὑπολαβών**, *answering* **λῃσταῖς**, *thieves* **ἐκδύσαντες**, *having stripped* **πληγὰς ἐπιθέντες**, *having put blows on him* **ἀφέντες** (from ἀφίημι) **ἡμιθανῆ**, *having left (him) half dead* **κατὰ συγκυρίᾱν**, *by chance* **ἀντιπαρῆλθεν**, *went past on the other side* **ὁμοίως**, *likewise* **κατὰ τὸν τόπον**, *to the place* **ὁδεύων**, *journeying, on a journey* **ἐσπλαγχνίσθη**, *was filled with pity* **κατέδησεν**, *he bound up* **τὰ τραύματα**, *the wounds* **ἐπιχέων**, *pouring on* **ἔλαιον**, *olive oil* **ἐπιβιβάσᾱς**, *having mounted* **τὸ ἴδιον κτῆνος**, *his own beast* **πανδοχεῖον**, *inn* **ἐπεμελήθη** + gen., *he cared for* **(ὁ) πλησίον . . . τοῦ ἐμπεσόντος**, *the neighbor of the one who fell among* **γεγονέναι**, *to have been* **ὁ ποιήσᾱς τὸ ἔλεος**, *the one who had* (lit., *who made*) *pity on* **μετ(ὰ)**, *on*]

# 15
# Η ΕΝ ΤΗΙ ΣΑΛΑΜΙΝΙ ΜΑΧΗ (α)



οἱ Ἀθηναῖοι εἰς τᾶς ναῦς εἰσβάντες παρεσκευάζοντο κατὰ θάλατταν μάχεσθαι.

## VOCABULARY

*Verbs*

**ἀναγκάζω, ἀναγκάσω, ἠνάγκασα**, ἀναγκάσᾱς, *I compel*

**διαφθείρω**, [φθερε-] **διαφθερῶ**, [φθειρ-] **διέφθειρα**, διαφθείρᾱς, *I destroy*

**εἴκω, εἶξω, εἶξα** (no augment), εἴξᾱς + dat., *I yield*

*Nouns*

**ἡ ἀπορίᾱ, τῆς ἀπορίᾱς**, *perplexity; difficulty; the state of being at a loss*
Cf. ἀπορέω, *I am at a loss*

**ὁ ναύαρχος, τοῦ ναυάρχου**, *admiral*

**ὁ νοῦς, τοῦ νοῦ**, *mind*
Cf. ἐν νῷ ἔχω + infin., *I have in mind; intend*

**ὁ στρατηγός, τοῦ στρατηγοῦ**, *general*

**ἡ φυγή, τῆς φυγῆς**, *flight*

*Adjective*

**μόνος, -η, -ον**, *alone; only*

*Adverb*

**μηκέτι** (cf. Vocabulary 3α) + imperative, *don't . . . any longer;* + infin., *no longer*

**μόνον**, *only*

*Conjunctions*

**οὐ μόνον . . . ἀλλὰ καί**, *not only . . . but also*





*Proper Name*

**ὁ Θεμιστοκλῆς, τοῦ Θεμιστοκλέους**, *Themistocles*

"οἱ μὲν οὖν Ἀθηναῖοι ἐν ἀπορίᾳ ἦσαν πλείστῃ· ὁ δὲ Θεμιστοκλῆς ἔπεισεν αὐτοὺς μὴ εἴκειν τοῖς βαρβάροις ἀλλὰ ὑπὲρ τῆς ἐλευθερίᾱς μάχεσθαι. τᾶς τ' οὖν γυναῖκας καὶ τοὺς παῖδας καὶ τοὺς γέροντας εἰς τήν τε Πελοπόννησον καὶ τὴν Σαλαμῖνα ἐκόμισαν, τήν τ' Ἀττικὴν καὶ τὴν πόλιν τοῖς πολεμίοις καταλιπόντες. αὐτοὶ δὲ εἰς τᾶς ναῦς εἰσβάντες πρὸς τὴν Σαλαμῖνα προσέπλευσαν καὶ παρεσκευάζοντο ὡς κατὰ θάλατταν μαχούμενοι.

[**εἰσβάντες**, *having gotten into, having embarked upon*]

"ἐν δὲ τούτῳ οἱ μὲν τῶν Ἑλλήνων στρατηγοὶ ἐν τῇ Σαλαμῖνι συνελθόντες οὕτως ἐφοβοῦντο ὥστε ἀποφυγεῖν ἐβούλοντο πρὸς τὴν Πελοπόννησον· ὁ δὲ Θεμιστοκλῆς ἐν τῷ συνεδρίῳ ἀναστᾶς εἶπεν ὅτι ἔτι καὶ νῦν δύνανται τοὺς πολεμίους νῑκῆσαι· ἐν γὰρ τοῖς στενοῖς μαχόμενοι οὐ δυνήσονται οἱ βάρβαροι τῷ πλήθει χρῆσθαι· δεῖ οὖν ἀναγκάσαι αὐτοὺς ἐκεῖ συμβαλεῖν.

[**τῷ συνεδρίῳ**, *the council* **ἀναστᾶς**, *having stood up* **δύνανται**, *they were* (lit., *are*) *able*]

"οὕτως εἰπὼν οὐ μόνον τοὺς ἄλλους στρατηγοὺς ἔπεισε μάχεσθαι, ἀλλὰ καὶ ἄγγελον παρὰ τὸν Ξέρξην ἔπεμψε λάθρᾳ, ὡς λέξοντα ὅτι οἱ Ἕλληνες παρασκευάζονται εἰς φυγήν. ὁ οὖν Ξέρξης, ὡς ἔγνω ὅτι ἀποφυγεῖν ἐν νῷ ἔχουσιν οἱ Ἕλληνες, βουλόμενος αὐτοὺς ὡς τάχιστα διαφθεῖραι, διέγνω αὐτοὺς ἀναγκάσαι ἐν Σαλαμῖνι μάχεσθαι. τῶν οὖν νεῶν τᾶς μὲν ἔπεμψε περὶ τὴν νῆσον, κελεύων τοὺς ναυάρχους τοὺς ἔκπλους φυλάττειν, τᾶς δὲ ἐκέλευσε φυλάττειν τὰ στενὰ ὥστε μηκέτι ἐξεῖναι τοῖς Ἕλλησιν ἀποπλεῖν."

[**λάθρᾳ**, *secretly* **εἰς** + acc., *for* **ἔγνω**, *he learned* **διέγνω**, *decided* **τῶν . . . νεῶν τᾶς μὲν . . . τᾶς δὲ**, *some of the ships . . . others* **τοὺς ἔκπλους**, *the escape routes*]

## WORD STUDY

*Identify the Greek stems in the English words below and give the meanings of the English words:*

1. monogamy (what does γαμέω mean?)
2. monologue
3. monochrome (what does τὸ χρῶμα mean?)
4. monosyllable (what does ἡ συλλαβή mean? From what verb is this noun formed?)
5. monograph

## GRAMMAR

### 1. Athematic 2nd Aorists

The following common verbs form their aorist indicatives, imperatives, and infinitives by adding the appropriate endings directly to a long-vowel stem without a thematic vowel in between. The participles are formed on the short-vowel stem. We call these *athematic 2nd aorists*. The aorist of βαίνω is used only in compounds in Attic Greek:

βαίνω, βήσομαι, ἔβην
*I step, walk, go*
**Aorist Stems:** βη-/βα-

| Indic. | Imper. | Infin. | Partic. |
|---|---|---|---|
| ἔβην | | βῆναι | βάς, |
| ἔβης | βῆθι | | βᾶσα, |
| ἔβη | | | βάν, |
| ἔβημεν | | gen., βάντος, etc. | |
| ἔβητε | βῆτε | | |
| ἔβησαν | | | |

γιγνώσκω, γνώσομαι, ἔγνων
*I come to know; I perceive; I learn*
**Aorist Stems:** γνω-/γνο-

| Indic. | Imper. | Infin. | Partic. |
|---|---|---|---|
| ἔγνων | | γνῶναι | γνούς, |
| ἔγνως | γνῶθι | | γνοῦσα, |
| ἔγνω | | | γνόν, |
| ἔγνωμεν | | gen., γνόντος, etc. | |
| ἔγνωτε | γνῶτε | | |
| ἔγνωσαν | | | |

The other tenses of the following verb will be presented in Book II:

ἔστην
*I stood; I stopped*
**Aorist Stems:** στη-/στα-

| Indic. | Imper. | Infin. | Partic. |
|---|---|---|---|
| ἔστην | | στῆναι | στάς, |
| ἔστης | στῆθι | | στᾶσα, |
| ἔστη | | | στάν, |
| ἔστημεν | | gen., στάντος, etc. | |
| ἔστητε | στῆτε | | |
| ἔστησαν | | | |



The participles of ἔβην and ἔστην are declined the same as sigmatic 1st aorist participles (see Chapter 12, Grammar 2, page 199). The participle of ἔγνων is declined the same as the present participle of εἰμί (see Chapter 9, Grammar 1, page 136), except for the masculine nominative singular.

Note the meanings of the following words:

ἀνέβην, *I went up*
ἀνάβηθι, *go up!*
ἀναβῆναι, *to go up*
ἀναβάς, *having gone up, after going up*, sometimes, *going up*

ἔγνων, *I came to know; I perceived; I learned*
γνῶθι, *know!*
γνῶναι, *to know; to perceive; to learn*
γνούς, *having learned, after learning*, sometimes, *learning*

ἔστην, *I stood; I stopped*
στῆθι, *stand! stop!*
στῆναι, *to stand; to stop*
στάς, *having stood, after standing*, sometimes, *standing; having stopped, after stopping*, sometimes, *stopping*

### Exercise 15α

*In the reading passage at the beginning of this chapter, locate four instances of the above verbs or compounds of them; identify each form.*

### Exercise 15β

*Read aloud and translate:*

1. ἆρ' οὐ βούλεσθε γνῶναι τί εἶπεν ὁ ἄγγελος;
2. οἱ Ἀθηναῖοι, γνόντες ὅτι οἱ βάρβαροι τάς τε Θερμοπύλᾱς εἷλον καὶ τῇ Ἀττικῇ προσχωροῦσιν, μάλα ἐφοβοῦντο.
3. ὁ Θεμιστοκλῆς, στρατηγὸς ὤν, ἀνέστη καὶ τοὺς Ἀθηναίους ἔπεισε μὴ εἴκειν τοῖς πολεμίοις.
4. οἱ Ἀθηναῖοι τάς τε γυναῖκας καὶ τοὺς παῖδας εἰς τὴν Σαλαμῖνα κομίσαντες εἰς τὰς ναῦς εἰσέβησαν.
5. ὁ Ξέρξης, γνοὺς ὅτι ἐν νῷ ἔχουσιν ἀποφυγεῖν οἱ Ἕλληνες, ἐβούλετο ἀναγκάσαι αὐτοὺς στῆναί τε καὶ πρὸς τῇ Σαλαμῖνι μάχεσθαι.
6. ἔκβηθι ἐκ τῆς νεώς, ὦ παῖ, καὶ στῆθι ἐν τῷ χώματι (*pier*).
7. ὁ ναύκληρος τὸν παῖδα ἐκέλευσεν ἀναστάντα ἐκβῆναι ἐκ τῆς νεώς.
8. αἱ γυναῖκες εἰς τὴν ἀγορὰν εἰσελθοῦσαι ἔστησαν πάντα θαυμάζουσαι.
9. ὁ Ἀπόλλων ἐν τοῖς Δελφοῖς ἔφη· "γνῶθι σεαυτόν."
10. στῆτε, ὦ φίλοι, καὶ ἐμὲ μείνατε.

### Exercise 15γ

*Translate into Greek, using athematic aorist verbs from page 252 with the prepositional prefixes ἀνα-, εἰσ-, ἐκ-, and ἐπι- as appropriate (check the vocabularies at the end of the book as necessary). Participles and infinitives when compounded with prefixes retain the accent of their uncompounded forms, but the accent of compound indicatives and imperatives is recessive.*

1. After going into the house, the women were sitting talking to one another.
2. Be silent, boy; stand up and help me.
3. Having gone into the temple, the priest stood and prayed to the god.
4. After climbing the mountain, we stood and were looking at the city.
5. The old man told the boys to stand up and listen.
6. Having learned what had happened (*use aorist*), the boy went out of the house to look for his father.
7. The women want to know why they must leave their homes behind.
8. Having learned that the barbarians were approaching (*use present tense*), the women embarked on the ships.
9. The soldiers, whom Xerxes sent, climbed the mountain very quickly.
10. When they arrived at the top (τὸ ἄκρον), they saw the Greeks, who did not stand bravely but fled away.

## 2. More 3rd Declension Nouns with Stems in -εσ-

In Chapter 13, Grammar 4, pages 226–227, you learned the declension of nouns with stems in -εσ-, such as τὸ τεῖχος (stem τειχεσ-) and ἡ τριήρης (stem τριηρεσ-). The noun ὁ Θεμιστοκλῆς, τοῦ Θεμιστοκλέους also has a stem in -εσ-, but with a preceding ε so that the following contractions occur:

**Stem:** Θεμιστοκλε-εσ-, *Themistocles*

| | | | |
|---|---|---|---|
| **Nom.** | ὁ | Θεμιστοκλῆς | |
| **Gen.** | τοῦ | Θεμιστοκλέ-εσ-ος > | Θεμιστοκλέους |
| **Dat.** | τῷ | Θεμιστοκλέ-εσ-ι > | Θεμιστοκλεῖ |
| **Acc.** | τὸν | Θεμιστοκλέ-εσ-α > | Θεμιστοκλέᾱ |
| **Voc.** | ὦ | Θεμιστόκλε-εσ- > | Θεμιστόκλεις |

As usual, the intervocalic σ is lost. The last two vowels then contract in the usual ways, except that after ε the vowels ε + α > ᾱ, and not η, thus τὸν Θεμιστοκλέᾱ. The names Ἡρακλῆς, Περικλῆς, and Σοφοκλῆς are declined the same way.



## Aeschylus's *Persae*

Aeschylus, the first of the three great Athenian writers of tragedy, had fought at the battle of Marathon and probably also at Salamis. He certainly saw the battle, and he has left us an eyewitness account of it. Eight years after the battle, he entered his play *The Persians* (*Πέρσαι*) in the dramatic contest at the festival of Dionysus in 472 B.C. This is our earliest extant Greek tragedy, and it is unique in that it has an historical theme; all other extant tragedies draw their plots from myth. For Aeschylus, human events were interwoven with the divine; he saw the defeat and humiliation of Xerxes as the supreme example of *hubris* (human pride) punished by *Nemesis* (Divine Vengeance).

The scene of the play is Susa, the Persian capital, where the Elders anxiously wait for news of Xerxes' expedition. Since he left, they have heard nothing, and their hearts are heavy with foreboding as they wonder what has happened to the host that went forth in pride to cast the yoke of slavery on Greece. As they speculate gloomily, they see Atossa, the Queen-mother, approaching. She tells them that ever since her son left, she has been troubled by dreams and that now she has had a dream of unmistakable significance: she saw Xerxes yoke two women to his chariot, one in Asian dress, the other in Greek. The Asian woman was proud of her harness and was obedient to the reins, but the Greek struggled, tore the harness from the chariot, threw off the bridle, and broke the yoke. When Atossa woke and went to the altar to pray for deliverance from evil, she saw another terrible omen: an eagle (the king of birds = Xerxes) flew to Apollo's altar, pursued by a falcon (= the Greeks), which clawed at its head, while it cowered unresisting.

As the Elders attempt to calm and comfort Atossa, a messenger is seen approaching in haste, who without preamble reveals the news they have dreaded: "Cities of all the lands of Asia, by one blow your great prosperity has been destroyed and the flower of the Persians is fallen and gone; the whole host has perished."

While Atossa is stunned to silence, the Elders lament wildly until the queen recovers and with quiet dignity asks the messenger how it could have happened since the Persians surely outnumbered the Greeks. The messenger replies (337–347, tr. Podlecki):

> Be sure of this, that in a matter of sheer numbers,
> The ships on our side would have conquered, for the Greeks'
> Entire total of ships was only three hundred ten. . . .
> But the multitude of ships in Xerxes' fleet—I know
> The facts—were no less than a thousand, those in speed
> Surpassing, two hundred seven. This is the total sum.
> Was it here you think we were surpassed when battle came?
> No, not by numbers, but some Spirit crushed the host,
> Threw in an evil fate against us in the scales.
> The gods are keeping the Goddess Pallas' city safe.

The messenger then describes the battle as follows (386–430, tr. Podlecki):

But when the white-horsed chariot of dawn appeared
And filled the entire earth with radiance to behold,
The first thing was a sound, a shouting from the Greeks,
A joyful song, and to it, making shrill response,
From the island rocks about there came an antiphony
Of echoes; fear stood next to each one of our men,
Tripped up in their hopes: for not as if in flight
Were the Greeks raising then a solemn paean-strain,
But rushing into battle with daring confidence;
A trumpet, too, blazed over everything its sound.
At once, with measured stroke of surging, sea-dipped oar,
They struck the brine and made it roar from one command,
And quickly all of them were visible to sight.
Their right wing first, in order just as they had been
Arranged, led off, and next the whole remaining force
Came out to the attack, and with the sight we heard
A loud voice of command: "O sons of Greeks, go on,
Bring freedom to your fatherland, bring freedom to
Your children, wives, and seats of your ancestral gods,
And your forebears' graves; now the struggle is for all."
Of course, on our side, too, a roar of Persian tongues
Went forth in answer; the moment would not brook delay.
Immediately ship struck its brazen-plated beak
On ship. The ramming was begun by a Greek ship
And it snapped off from one of the Phoenicians the whole
Curving stern, and men on both sides shot their spears.
At first the streaming Persian force withstood the shocks;
But when their crowd of ships was gathered in the straits,
And no assistance could be given one to another,
But they were being struck by their own brazen rams,
They kept on breaking all their equipage of oars,
And the ships of the Greeks, with perfect plan and order, came
Around them in a circle and struck, and hulls of ships
Were overturned; and the sea no longer was visible,
Filled as it was with shipwrecks and the slaughter of men.
The beaches, too, and the reefs around were filled with corpses.
Now every ship that came with the Persian armament
Was being rowed for quick escape, no order left.
And they kept striking us, deboning us, like tunnies
Or a catch of fish, with broken fragments of oars, or bits
Of flotsam from the wrecks; and all this time, moaning
And wailing held control of that area of sea,
Until the eye of black night took it away.
So great a crowd of ills, not even if I took
Ten days in order to tell, could I tell the tale in full.



## *New Testament Greek*

Luke 2.1–14
The Birth of Jesus

ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθεν δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. αὕτη ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου. καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἑαυτοῦ πόλιν. ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲθ εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαυὶδ ἥτις καλεῖται Βηθλέεμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυίδ, ἀπογράψασθαι σὺν Μαριὰμ τῇ ἐμνηστευμένῃ αὐτῷ, οὔσῃ ἐγκύῳ. ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, καὶ ἔτεκεν τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλῖνεν αὐτὸν ἐν φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.

[**δόγμα**, *order, decree* **παρὰ** + gen., *from* **ἀπογράφεσθαι**, *to be registered, enrolled* (in the census) **τὴν οἰκουμένην**, *the inhabited world, the Roman Empire* **ἡγεμονεύοντος . . . Κυρηνίου**, *when Quirinius was governor* **ἕκαστος**, *each* **διὰ τὸ εἶναι αὐτὸν**, *because of his being* **πατριᾶς**, *family, nation, people* **σὺν** + dat., *with* **Μαριὰμ**: indeclinable **τῇ ἐμνηστευμένῃ**, *the betrothed* **ἐγκύῳ**, *pregnant* **ἐπλήσθησαν**, *were fulfilled* **τεκεῖν** (from τίκτω), *to give birth* **τὸν υἱὸν**, *the son* **πρωτότοκον**, *first-born* **ἐσπαργάνωσεν**, *she wrapped* X *in swaddling bands* **ἀνέκλῖνεν** (from ἀνακλίνω) *she made* X *recline* **φάτνῃ**, *manger, feeding-trough* **διότι**, *because* **τόπος**, *place* **τῷ καταλύματι**, *the inn*]

καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. καὶ ἄγγελος κῡρίου ἐπέστη αὐτοῖς καὶ δόξα κῡρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον μέγαν. καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, "μὴ φοβεῖσθε, ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ ὅς ἐστιν Χρῖστὸς κῦριος ἐν πόλει Δαυίδ. καὶ τοῦτο ὑμῖν τὸ σημεῖον, εὑρήσετε βρέφος ἐσπαργανωμένον καὶ κείμενον ἐν φάτνῃ." καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν θεὸν καὶ λεγόντων,

"δόξα ἐν ὑψίστοις θεῷ
καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκίᾶς."

[**ποιμένες**, *shepherds* **τῇ χώρᾳ**, *the place* **ἀγραυλοῦντες**, *living out of doors* **φυλάσσοντες** = φυλάττοντες **φυλακὰς**, *watches* **ἐπὶ** + acc., *over* **τὴν ποίμνην**, *the flock* **ἄγγελος**, *angel* **κῡρίου**, *of the Lord* **δόξα**, *the glory* **περιέλαμψεν**, *shone around* **ἐφοβήθησαν**, *they feared* **φόβον**, *fear* **εὐαγγελίζομαι**, *I announce* **χαρὰν**, *joy* **τῷ λαῷ**, *the people* **ἐτέχθη** (from τίκτω), *was born* **σήμερον**, *today* **σωτὴρ**, *savior* **τὸ σημεῖον**, *the sign* **βρέφος**, *baby, infant* **ἐσπαργανωμένον**, *wrapped in swaddling bands* **κείμενον**, *lying* **ἐξαίφνης**, *suddenly* **στρατιᾶς**, *of an army, host* **οὐρανίου**, *heavenly* **αἰνούντων**, *of ones praising* **ἐν ὑψίστοις**, lit., *among the highest (things), in heaven* **εἰρήνη**, *peace* **εὐδοκίᾶς**, *of good will* or *of (His) choice*] Concluded in Chapter 16β

# Η ΕΝ ΤΗΙ ΣΑΛΑΜΙΝΙ ΜΑΧΗ (β)




ἡ ἐν τῇ Σαλαμῖνι μάχη

## VOCABULARY

*Verbs*

**ἀνέστην, ἀναστᾶς,** *I stood up*
**βλάπτω**, [βλαβ-] **βλάψω, ἔβλαψα**, βλάψᾱς, *I harm, hurt*
**δηλόω, δηλώσω, ἐδήλωσα**, δηλώσᾱς, *I show*
**ἐλευθερόω, ἐλευθερώσω, ἠλευθέρωσα**, ἐλευθερώσᾱς, *I free, set free*
**ἐμπίπτω** [= ἐν- + πίπτω], **ἐμπεσοῦμαι** (irregular), **ἐνέπεσον** (irregular), ἐμπεσών + dat., *I fall into; I fall upon; I attack*
**ἐπιπλέω**, [πλευσ-] **ἐπιπλεύσομαι, ἐπέπλευσα**, ἐπιπλεύσᾱς + dat. or + εἰς + acc., *I sail against*
**ναυμαχέω, ναυμαχήσω, ἐναυμάχησα**, ναυμαχήσᾱς, *I fight by sea*
**πειράω, πειρᾱ́σω** (note that because of the ρ the α lengthens to ᾱ rather than η), **ἐπείρᾱσα**, πειρᾱ́σᾱς, active or middle, *I try, attempt*
**πιστεύω, πιστεύσω, ἐπίστευσα**, πιστεύσᾱς + dat., *I trust, am confident (in); I believe;* + ὡς, *I believe* (that)



**συμπίπτω** [= συν- + πίπτω], **συμπεσοῦμαι** (irregular), [πετ-] **συνέπεσον** (irregular), συμπεσών, *I clash;* + dat., *I clash with*

*Nouns*

**ὁ ἀγών, τοῦ ἀγῶνος**, *struggle; contest*
**ἡ ἀρετή, τῆς ἀρετῆς**, *excellence; virtue; courage*
**ὁ θόρυβος, τοῦ θορύβου**, *uproar, commotion*
**ὁ κόσμος, τοῦ κόσμου**, *good order*
**κόσμῳ**, *in order*
**τὸ μέρος, τοῦ μέρους**, *part*
**ὁ νεκρός, τοῦ νεκροῦ**, *corpse*
**ἡ νίκη, τῆς νίκης**, *victory*
**ἡ πατρίς, τῆς πατρίδος**, *fatherland*
**ὁ πέπλος, τοῦ πέπλου**, *robe; cloth*
**ὁ πρόγονος, τοῦ προγόνου**, *ancestor*
**ἡ σπουδή, τῆς σπουδῆς**, *haste; eagerness*
**ἡ τύχη, τῆς τύχης**, *chance; luck; fortune*

*Adjectives*

**δεξιός, -ᾱ́, -όν**, *right* (i.e., on the right hand)
**πεζός, -ή, -όν**, *on foot*

*Adverb*

**πανταχοῦ**, *everywhere*

*Conjunction*

**ὡς**, *that*

*Proper Names*

**ὁ Αἰσχύλος, τοῦ Αἰσχύλου**, *Aeschylus*
**ἡ Ἀσίᾱ, τῆς Ἀσίᾱς**, *Asia* (i.e., Asia Minor)
**Περσικός, -ή, -όν**, *Persian*
**ὁ Σιμωνίδης, τοῦ Σιμωνίδου**, *Simonides*

"πᾶσαν οὖν τὴν νύκτα οἱ βάρβαροι ἔνθα καὶ ἔνθα ἤρεσσον τά τε στενὰ φυλάττοντες καὶ τοὺς ἔκπλους, οἱ δὲ Ἕλληνες ἡσύχαζον παρασκευαζόμενοι μάχεσθαι. ἐπεὶ δὲ πρῶτον ἡμέρᾱ ἐγένετο, προὐχώρουν οἱ βάρβαροι εἰς τὰ στενά, πιστεύοντες ὡς ῥᾳδίως μέλλουσι νῑκήσειν τοὺς Ἕλληνας, ἐξαίφνης δὲ βοὴν μεγίστην ἤκουσαν ὥστε μάλα ἐφοβοῦντο. οἱ γὰρ Ἕλληνες, κόσμῳ χρώμενοι εἰς μάχην προὐχώρουν καὶ ἐπὶ τοὺς βαρβάρους πλέοντες τὸν παιᾶνα ἐβόων.

[**ἔνθα καὶ ἔνθα**, *this way and that* **ἐξαίφνης**, *suddenly* **τὸν παιᾶνα**, *the battle song*]

"οὕτω δὲ ὁ Αἰσχύλος ὁ ποιητής, ὃς καὶ αὐτὸς τῇ μάχῃ παρῆν, τοὺς Ἕλληνας ποιεῖ ἐπὶ τοὺς βαρβάρους ἐπιπλέοντας·

τὸ δεξιὸν μὲν πρῶτον εὐτάκτως κέρᾱς
ἡγεῖτο κόσμῳ, δεύτερον δ' ὁ πᾶς στόλος
ἐπεξεχώρει, καὶ παρῆν ὁμοῦ κλύειν
πολλὴν βοήν, 'ὦ παῖδες Ἑλλήνων ἴτε,

ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ
παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη,
θήκᾱς τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών.'

[**ποιεῖ**, here, *describes* **τὸ δεξιὸν . . . κέρᾱς**, *the right wing* **εὐτάκτως**, *in an orderly manner* **δεύτερον**, *secondly* **ἐπεξεχώρει**, *was coming out against* (them) **παρῆν**, *it was possible* **ὁμοῦ**, *together, at the same time* **κλύειν**, *to hear* **θεῶν**: pronounce as one syllable **πατρῴων**, *ancestral* **(τὰ) ἕδη**, *seats, shrines* **θήκᾱς**, *tombs* (The quotation is from Aeschylus, *Persians* 399–405.)]

"οὕτως οὖν οἱ Ἕλληνες τῷ Περσικῷ στρατῷ προσέβαλλον καὶ ἐν τοῖς στενοῖς συμπίπτοντες ἐναυμάχουν ὀλίγοι πρὸς πολλούς. οἱ δὲ βάρβαροι, καίπερ πλείστᾱς ἔχοντες ναῦς, οὐκ ἐδύναντο πάσαις ταῖς ναυσὶν ἅμα χρῆσθαι. καὶ οἱ μὲν Ἕλληνες τὰς πρώτᾱς τῶν βαρβάρων ναῦς ἢ ἔβλαψαν ἢ κατέδῡσαν τοσαύτῃ σπουδῇ προσβάλλοντες ὥστε οἱ βάρβαροι μάλα φοβούμενοι ἐτρέποντο καὶ ἐπειρῶντο ἐκφυγεῖν. ἐνταῦθα δὴ πλεῖστος ἐγένετο θόρυβος. [αἱ γὰρ τῶν βαρβάρων νῆες ἀλλήλαις ἐνέπῑπτον, αἱ μὲν ἐκ τῆς μάχης πειρώμεναι ἐκφυγεῖν, αἱ δὲ εἰς τὴν μάχην προχωροῦσαι.] τέλος δὲ πάντες οἱ βάρβαροι ἔφευγον οὐδενὶ κόσμῳ χρώμενοι, οἱ δὲ Ἕλληνες διώκοντες πλείστᾱς δὴ ναῦς κατέδῡσαν· καὶ πανταχοῦ μὲν ἦν ναυάγια, πανταχοῦ δὲ νεκροί, ὥστε τὴν θάλατταν οὐκέτι ἐξῆν ἰδεῖν. οὕτως οὖν ἐμάχοντο ἕως νύξ ἐγένετο.

[**ἐδύναντο**, *were able* **κατέδῡσαν**, *sank* **ναυάγια**, *shipwrecks*]

"ἐν δὲ τούτῳ ὁ Ξέρξης ἐκαθίζετο ἐπὶ ὄχθῳ τινὶ ἐγγὺς τῆς θαλάττης τὴν μάχην θεώμενος· ἐπίστευε γὰρ ὡς ῥᾳδίως νῑκήσουσιν οἱ Πέρσαι· ἠγνόει γὰρ τὰ τῆς τύχης οὐδ' ἔγνω τί ἐν νῷ ἔχουσιν οἱ θεοὶ ἀλλ' ἀεὶ ὕβρει ἐχρῆτο.

[**ὄχθῳ**, *hill* **ἠγνόει**, *he was ignorant of* **τὰ τῆς τύχης**, *the (things) of chance*, i.e., that chance rules human affairs **ὕβρει**, *insolence, pride*]

"γνοὺς δὲ ὅτι νῑκῶσι μὲν οἱ Ἕλληνες οἱ δὲ βάρβαροι ἀποφεύγουσιν, ἀνέστη καὶ τοὺς πέπλους ἔρρηξεν. ἐν ἀπορίᾳ γὰρ μεγίστῃ ἦν· ἀπολέσᾱς γὰρ τὸ ναυτικὸν οὐκέτι ἐδύνατο σῖτον παρέχειν τῷ πεζῷ στρατῷ μεγίστῳ ὄντι. τοὺς μὲν οὖν στρατηγοὺς



ἐκέλευσε τὸν πεζὸν στρατὸν ἄγειν κατὰ γῆν πρὸς τὴν Ἀσίᾱν, αὐτὸς δὲ ἀπέφυγεν ὀδῡρόμενος.

[**ἔρρηξεν** (from ῥήγνῡμι, *I break*), *he tore* **ἀπολέσᾱς** (from ἀπόλλῡμι), *having lost* **ὀδῡρόμενος**, *lamenting*]

"οὕτως οὖν οἱ Ἕλληνες τοὺς Πέρσᾱς νῑκήσαντες τὴν Ἑλλάδα ἠλευθέρωσαν. καὶ δὴ καὶ ἐν τούτῳ τῷ ἔργῳ οἱ Ἀθηναῖοι πλείστᾱς τε ναῦς παρέσχον τῶν Ἑλλήνων καὶ πλείστην ἐδήλωσαν ἀρετήν, ὥστε ἔξεστιν ἀληθῶς λέγειν ὅτι οἱ Ἀθηναῖοι τὴν Ἑλλάδα ἔσωσαν, καὶ οὐχ ἥκιστα ὁ Θεμιστοκλῆς, ὃς στρατηγὸς ὢν Ἀθηναῖος μάλιστα αἴτιος ἦν τῆς νίκης.

[**καὶ δὴ καὶ**, *and in particular, and what is more* **ἥκιστα**, *least*]

"τοῦτο τὸ ἐπίγραμμα τοῖς Ἀθηναίοις τοῖς ἐν τούτῳ τῷ πολέμῳ ἀποθανοῦσιν ἔγραψεν ὁ Σιμωνίδης, ποιητὴς ὢν ἄριστος·

εἰ τὸ καλῶς θνῄσκειν ἀρετῆς μέρος ἐστὶ μέγιστον,
ἡμῖν ἐκ πάντων τοῦτ' ἀπένειμε Τύχη·
Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι
κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ."

[**τὸ ἐπίγραμμα**, *epigram* **τὸ καλῶς θνῄσκειν**, *to die well* (this infinitive phrase is the subject of the sentence) **ἀπένειμε** (from ἀπονέμω), *bestowed, gave* **περιθεῖναι** (from περιτίθημι), *to put around, to put* X (acc.) *on* Y (dat.), as one would put a garland or a crown on someone's head **κείμεθ(α)**, *we lie* (in our graves) **ἀγηράντῳ** (cf. τὸ γῆρας, *old age*), *ageless* **εὐλογίῃ**, *praise, eulogy*]

## WORD BUILDING

*In the following pairs of words, deduce the meaning of the nouns and the adjective from the meanings of the verbs. Note the change in vowels from ε in the verbs to ο in the nouns and the adjective:*

| | | | | | |
|---|---|---|---|---|---|
| 1. | λέγω | ὁ λόγος | 4. | μένω | ἡ μονή |
| 2. | τρέπω | ἡ τροπή | 5. | σπεύδω | ἡ σπουδή |
| 3. | πέμπω | ἡ πομπή | 6. | λείπω | λοιπός, -ή, -όν |

## GRAMMAR

### 3. Contract Verbs in -o-

In the vocabulary list and reading passage above, you have seen examples of two contract verbs with stems ending in -o- instead of in -ε- or

-α-, namely, δηλόω, δηλώσω, ἐδήλωσα, and ἐλευθερόω, ἐλευθερώσω, ἠλευθέρωσα. Verbs in -ο- contract as follows:

**Stem:** δηλο-, *show*

**Present Active**

| **Indicative** | | **Imperative** | **Infinitive** | **Participle** |
|---|---|---|---|---|
| δηλό-ω> | δηλῶ | | δηλοῦν | |
| δηλό-εις> | δηλοῖς | δήλο-ε > | | δηλό-ων > δηλῶν, |
| δηλό-ει> | δηλοῖ | δήλου | | δηλό-ουσα > δηλοῦσα, |
| δηλό-ομεν> | δηλοῦμεν | | | δηλό-ον > δηλοῦν, |
| δηλό-ετε> | δηλοῦτε | δηλό-ετε > | | gen., δηλοῦντος |
| δηλό-ουσι(ν) > | δηλοῦσι(ν) | δηλοῦτε | | |

**Present Middle**

Shown here in contracted forms only

| | | | |
|---|---|---|---|
| δηλοῦμαι | | δηλοῦσθαι | δηλούμενος, -η, -ον |
| δηλοῖ | δηλοῦ | | |
| δηλοῦται | | | |
| δηλούμεθα | | | |
| δηλοῦσθε | δηλοῦσθε | | |
| δηλοῦνται | | | |

**Imperfect Active**

| | |
|---|---|
| ἐ-δήλο-ον > | ἐδήλουν |
| ἐ-δήλο-ες > | ἐδήλους |
| ἐ-δήλο-ε > | ἐδήλου |
| ἐ-δηλό-ομεν > | ἐδηλοῦμεν |
| ἐ-δηλό-ετε > | ἐδηλοῦτε |
| ἐ-δήλο-ον > | ἐδήλουν |

**Imperfect Middle**

| | |
|---|---|
| ἐδηλο-ό-μην > | ἐδηλούμην |
| ἐδηλό-ε-σο > | ἐδηλοῦ |
| ἐδηλό-ε-το > | ἐδηλοῦτο |
| ἐδηλο-ό-μεθα > | ἐδηλούμεθα |
| ἐδηλό-ε-σθε > | ἐδηλοῦσθε |
| ἐδηλό-ο-ντο > | ἐδηλοῦντο |

The following rules for these contractions may be observed:

